Ἀπολλώνιον τὸν ὑμέτερον πολίτην, Πυθαγόρειον φιλόσοφον, καλῶς ὑπεδημήσαντα τῇ Ἑλλάδι, καὶ τοῖς νέοις ἡμῶν ὠφελήσαντα, ἐμήσαντες ἀξίας ὑμᾶς, αἷς πρέπει τοῖς ἀγαθοῖς ἄνδρας, καὶ ἀληθῶς θεοφιλοῦς φιλοσοφίας, τὴν εὔνοιαν ἡμῶν ἣν θελήσαμεν ὑμῖν δι' ὑπουλῆς φανερὰν γενέσθαι.

Ἀπολλώνιος δικαιωταῖς Ῥωμαίων. 59

Λιμένων, καὶ οἰκοδομημάτων, καὶ θεμελίων, ἃ τῶν πεπατῶν ἐνίοις ὑμῶν θεῖα· παίδων δὲ τῶν ἐν ταῖς πό-

λεσιν, ἢ νέων, ἢ γυναικῶν, οὔθ' ὑμῖν οὔτε τοῖς νόμοις φρονῆς. ἢ καλὸν αὖ λιῶ τὸ ἄρχεσθαι.

Τῷ ἀδελφῷ Ἀπολλωνίῳ. 60

Φύσιν ἔχει τῶν τελειωθέντων ἕκαστον ἀπεῖναι. καὶ τοῦτο παντὶ γεγραφὸς ὅτι, μὴ ὃ μηκέτι μένει. μὴ δή σε λυπείτω τῆς γυναικὸς ἡ ἐν ἀκμῇ τῆς ἡλικίας ἀποβολή. μηδὲ, ἐπεὶ θάνατος τὶ λέγεται, κρεῖττον αὐτοῦ τὸ ζῆν ὑπολάμβανε, χεῖρον δὲ τῷ παντὶ τοῖς νοῦν ἔχουσι. γλυκὺ δὴ ἀδελφὸς, τὸ μὴ κοινότατον, φιλοσόφου· τὸ δὲ ἐξαίρετον, Πυθαγορείου, καὶ Ἀπολλωνίου. καὶ σοὶ τὴν οἰκίαν τὴν αὐτὴν ποίησον. εἰ μὴ γὰρ ἐνεκαλοῦμέν τι τῇ πρεσβυτέρᾳ, κἂν εἰκότως ἐδοκοῦμεν ἀποδειλιᾶν· εἰ δ' ἡμῖν σεμνή τε διετέλεσεν οὖσα καὶ φίλανδρος, καὶ διὰ τοῦτο ὑπερζητήσεως ἀξία, τί καὶ διανοηθέντες, οὐκ αὖ ὅμοια καὶ περὶ τῆς μελλούσης πρεσβεύεσθαι; ἴσως εἰκὸς αὖ ἐθελῆσαι καὶ ἀμείνονα γενέσθαι, μηδαμοῦ τῆς πρεσβείας ἀμελείᾳ κακωθείσης. δυσωπείτω δέ σε καὶ τὰ τῶν ἀδελφῶν, οὕτω μέχρι νοῦ ἔχοντα. τῷ πρεσβυτάτῳ μὲν γὰρ οὐδὲ γάμος οὐδέπω, τῷ νεωτάτῳ δὲ ἐλπὶς μὲν ἔτι παιδοποιΐας, ἐν σκοπῇ δέ γε τὸ χρόνου. καὶ ἡμεῖς μὲν ἐνὶ τρεῖς γεγόναμεν· τρισὶ δ' ἡμῖν οὐδὲ εἷς. ἴσος δ' καὶ ὁ κίνδυνος τῇ παιδὶ καὶ τῷ βίῳ τῷ μεθ' ἡμᾶς. εἰ γὰρ ἡμεῖς ἀμείνους τοῦ παιδὸς, ἄλλως δὲ καὶ ὁ πατὴρ χείρους, πῶς οὐκ αὖ βελτίους ἐξ ἡμῶν εἰκὸς αὖ ἐπάρξαι; γλυκάνασαν οὖν ἵνες οἷς σφαγησόμεθα γραῦν ὀνόματα, ὡς ἡμῶν οἱ πρόγονοι σωύφηναν. ἐπεὶ δακρύων οὐκ οἷός τε ἐγγυόμην πλείονα γράψαι· καὶ οὐδὲ εἶχον ἀναγκαιότερα τούτων.

Σαρδιανοῖς. 61

Κροῖσος ἀπέβαλε τὴν Λυδῶν ἀρχὴν, Ἅλυν διαβάς· ἐλήφθη ζῶν, ἐδέθη πέδαις· ὅτι πῦρ ἀνεβιβάσθη, τὸ πῦρ εἶδεν ἡμμένον, αἰρόμενον εἰς ὕψος· ἔζησεν. ἐδόκει γὰρ τῷ θεῷ τετιμηκέναι. τί οὖν ὕστερον οὗτος ὁ πρόγονος ὑμῶν ἅμα καὶ βασιλεύς; ὁ τοσαῦτα παθὼν σφᾶς τὴν ἀξίαν, τραπέζης ἐκοινώνησε τῷ πολεμίῳ. σύμβουλος γοῦν δύνοις,

πιστὸς

πιστὸς φίλος. ὑμῖν δ' ἄσπονδα καὶ ἀκήρυκτα, καὶ ἀμείλικτα, ἔπ τε αἰέρα καὶ ἄθεα, τὰ πρὸς γονεῖς, πρὸς τέκνα, τὰ πρὸς φίλους, συγγενεῖς, φυλέτας. ἐχθροὶ γεγόνατε, μήτε τὸν Ἄλλω δίκαιτες, μήτε δεξάμενοι τινὰ ἄνθρωπον ἔξωθεν. καὶ ἡ γῆ φέρει καρπὸν ὑμῖν; ἄδικος ἡ γῆ.

Συγγεφθῦσι λοιδοροῖς. 62

Φῶς, παρουσία πυρός· ἢ οὐκ ἂν ἄλλως γένοιτο. πῦρ μὲν οὖν αὐτὸ τὸ πάθος, καὶ ᾧ γίνεται. καίεται γοῦν. φῶς δὲ ταῖς ὄψεσι μόνον αὐγὴν ἑαυτοῦ παρέχεται, μὴ βιαζόμενον αὐτάς, ἀλλὰ πείθον. τοίνυν καὶ λόγος, ὁ μὲν, ὡς πρὸ πῦρ, καὶ πάθος· ὁ δὲ, ὡς πρὸ αὐγὴ, καὶ φῶς ἐστιν. ὃ κρεῖττον οὖν, εἰ μὴ μεῖζον ἀρχῆς τὸ ῥηθησόμενον, εἴη μοι.

Οὐαλερίῳ. 63

Θάνατος οὐδεὶς οὐδενός, ἢ μόνον ἐμφάσει· καθάπρ ὑδὲ γένεσις οὐδενός, ἢ μόνον ἐμφάσει. τὸ μὲν γὰρ ἐξ οὐσίας πρὸς εἰς φύσιν, ἔδοξε γένεσις, τὸ δὲ ἐκ φύσεως εἰς οὐσίαν, κατ' ταὐτὰ θάνατος· οὔτε γινομένου κατ' ἀλήθειαν τινὸς, οὔτε φθειρομένου ποτέ· μόνον δὲ ἐμφανοῖς ὄντος ἀορίστου τε ὕστερον, τὸ μὲν, διὰ παχύτητα τῆς ὕλης, τὸ δὲ, διὰ λεπτότητα τῆς οὐσίας· οὔσης μὲν ἀεὶ τῆς αὐτῆς, κινήσεσι δὲ διαφερούσης καὶ στάσεσι. τοῦτο γάρ που τὸ ἴδιον ἀνάγκη, τῆς μεταβολῆς οὐκ ἔξωθεν γινομένης ποθέν· ἀλλὰ τοῦ μὲν ὅλου μεταβάλλοντος εἰς τὰ μέρη, τῶν μερῶν δὲ εἰς τὸ ὅλον τρεπομένων, ἐνότητι τοῦ παντός. εἰ δ' ἐρήσεταί τις, τί τοῦτό ἐστι τὸ ποτὲ μὲν ὁρατὸν, ποτὲ δὲ ἀόρατον ἢ τοῖς αὐτοῖς γινόμενον ἢ ἄλλοις, φαίη τις ἂν ὡς ἔθος ἑκάστου ἐστὶν ὧν τὰ δὲ γένη· ὃ πληρωθὲν μὲν ἐφάνη, διὰ τὴν τῆς παχύτητος ἀπιτυπίαν· ἀόρατον δέ ἐστιν, εἰ κενωθὲν διὰ λεπτότητα, τῆς ὕλης βιαζομένης, ἐκφυείσης τε τῷ περιέχοντος αὐτὸ αἰωνίου μέσου, γένηται ἢ οὐδαμῶς, οὐδὲ φθαρτόν. τί δὲ καὶ τὸ τῆς πλάνης ὅπη τοσοῦτον αἰτιολόγητον; οἴονται γάρ τινες, ὃ πεπόνθασιν αὐτοί, τοῦτο πεποιηκέναι. μὴ εἰδότες ὡς ὁ γενητὸς, διὰ γονέων γεγένηται, οὐχ ὑπὸ γονέων· καθάπρ

τὸ δι' ὑμᾶς φυὲν, ἢ ἐκ γῆς φύεται. πάθος τε οὐδὲν τῶν φαινομένων ἧττον ἕκαστον, ἀλλὰ μᾶλλον ἧττον ἑνὸς ἑκάστου. τί οὖν τις ἂν ἄλλο τις εἰπὼν, ἢ πῶς ἂν ἐπιτύχοι οὐσίαν, ὀρθῶς ἂν ὀνομάσειεν; ἢ δι' μόνην ποιεῖται τὴν πάσχειν, πᾶσι γινομένην πάντα, δι' πάντων θεὸς αἰδίως· ὀνόμασι καὶ σχήμασιν ἀφαιρουμένην τὸ ἴδιον, ἀδικουμένην τε. καὶ τοῦτο μὲν ἔλαττον· τότε γὰρ κλαίεταί τις, ὅταν θεὸς ἐξ ἀνθρώπου γένηται, τοῦτο μεταβάσει, καὶ οὐχὶ φύσεως. ὡς γὰρ ἔχει τὸ ἀληθὲς, οὐ πενθητέον σοὶ θάνατον, ἀλλὰ ζημιητέον καὶ σεβαστέον. ζημιὴ γὰρ, ἡ ἀείσηπτε καὶ σωρεύουσα, εἰ ἀφεὶς θεὸν τὸν ἐκεῖ γενόμενον, ἀνθρώπων τὴν πεπισευμένων τανῦν ἀρχὴν, ἢ πότερον ἦρχες. αἰσχρὸν, εἰ χρόνῳ, μὴ λογισμῷ, γένοιο βελτίων· εἰ χρόνος καὶ τοῖς κακοῖς λύπης ἔπαυσε. μέγιστον, ἀρχὴ ἱκανὴ, καὶ πρὸ μειζόνων. ἄρχων ἄριστος, ὃς ἑαυτῷ πρότερον ἄρχει. ποῦ γὰρ ὅσιον ἀπεύχεσθαι τὸ βουλήσει θεοῦ γενόμενον; εἰ τάξις ὅτι τῶν ὄντων, (ἔστι δὲ, καὶ θεὸς ὅπως ἂν τοῦτο) ὁ δίκαιος οὐ βουλήσεται τὰ ἀγαθά; πλεονεκτικὸν γὰρ καὶ πρὸ τάξιν τὸ τοιοῦτον. ἡγήσεται γὰρ τὰ γινόμενα συμφέρειν. πρόελθε καὶ θεράπευσον· δίκασον καὶ παρηγόρησον τοὺς αἰτίους· τῶν δὲ δακρύων οὕτως ἀποτρέψῃς. οὐ τὰ ἴδια τῶν κοινῶν, ἀλλὰ τὰ κοινὰ τῶν ἰδίων πρόμνητέον. οἶς δέ σοι καὶ τὸ τῆς πραμωδίας εἶδος. σοῦ ὅλου τὸν υἱὸν ἔθνει πεπένθηκας. ἄμειψαι τοὺς μετὰ σοῦ λελυπημένους. ἀμείψῃ δὲ, ἐὰν λυπούμενος παύσῃ ταχύ· ἐὰν μὴ πρόελθῃς. φίλους οὐκ ἔχεις, υἱὸν γὰρ ἔχεις καὶ νῦν τὸν τεθνηκότα, φήσὶ τις τῶν νοῦν ἐχόντων. τὸ γὰρ ὂν οὐκ ἀπόλυται· διὰ τοῦτο ὄν, ὅτι ἔσαι διὰ παντός. ἢ καὶ τὸ μὴ ὂν γίνεται. πῶς δ' ἂν γένοιτο, μὴ ἀπολλυμένου τὸ ὄντος; εἶπεν ἂν ἕτερός τις, ὡς ἀσεβεῖς τε καὶ ἀδικεῖς. ἀσεβεῖς μὲν τὸν θεὸν, ἀδικεῖς γὰρ τὸν υἱόν. μᾶλλον δὲ, κἀκεῖνον ἀσεβεῖς. βούλει δὲ μαθεῖν οἷον ὅτι θάνατος; ἄγελέ με πέμψας μετὰ τούτου πρὸς φωνήν· ἵνα ἐὰν μὴ μεταμφιέσῃ, πρᾶγμα κρείττονά με σαυτοῦ πεποίηκας. ἔχεις χρόνον, ἔχεις γυναῖκα, ἔμφρονα, φίλανδρον· ὁ λόκληρος εἶ· πρᾶξαι σαυτοῦ λάβε

τὸ λεῖπον. Ῥωμαῖός τις τῶν παλαιγενότων, ἵνα σώσῃ τὸν τῆς ἀρχῆς νόμον τε καὶ κόσμον, υἱὸν ἴδιον ἀπέκτεινε, καὶ στεφανώσας ἀπέκτεινε. πόλεων ἄρχης πεντακοσίων Ῥωμαίων ὁ ἀγχιμέσαπος· ταῦτα σαυτὸν διαπίθης, ἐξ ὧν οὐδὲ οἰκίας τὰς ἀσαθῶς ἄρξει, μήτε γε πόλεών τε καὶ ἐθνῶν. Ἀπολλώνιος εἰ παρὼν, Φαβούλλαν αὖ μὴ πεισθεῖν ἔπεισε.

Βασιλεὺς Βαβυλωνίων Γάρμος Νεομηδῇ Ἰνδῶν βασιλεῖ.

Εἰ μὴ ἀδίκεργος ἦς, οὐκ ἂν ἦς ἐν τοῖς ἀλλοτρίοις ἀδάμασι δίκαιος. οὐδ' ἂν ἄρχων ἐν Ἰνδοῖς, ἐδίκαζες Βαβυλωνίοις. πόθεν γάρ σοι γνώριμος ἦν ὁ ἡμέτερος δῆμος; νῦν δὲ ἐπείσασας ἀρχὴν τὴν ἐμὴν, ἰσονομοκρίμονος ὄψεσθαι, καὶ τοιαύτας ἀρχὰς καθιείς· καὶ ἀδάμα ποιούμενος τῆς πλεονεξίας τὴν φιλανθρωπίαν. πεφανεῖς δὲ οὐδέν. οὔτε γὰρ λαθεῖν δυνάμενος.

Ἀπολλώνιος Εὐφράτῃ. 64

Ἦν Πραξιτέλης Χαλκιδεὺς μαινόμενος ἄνθρωπος. ὅτε ὤφθη ἀδὲ τὰς θύρας τὰς ἐμὰς ξίφος ἔχων ἐν Κορίνθῳ, μετὰ σοῦ γνώριμος. ὡς ἂν ἡ ὀψὲ βουλὴ αἰτία; ὃ γὰρ πώποτε σοὶ βοῦς ἤλασα· ἐπεὶ μάλα πολλὰ μεταξὺ ὄρεά τε ἰσιόεντα, θάλασσά τε ἠχήεσσα, τῆς τε ἐμῆς φιλοσοφίας καὶ τῆς σῆς.

Λεσβώνακτι. 65

Ἀνάχαρσις ὁ Σκύθης, ὦ σοφός. εἰ δὲ Σκύθης, ὅτι δὲ Σκύθης. Λακεδαιμονίοις Ἀπολλωνίῳ.

Ταῦ δεδομένας ὑμῖν σοὶ ἀπεσάλκαμεν, πόδε αἰτίχαφον σημηνάμενοι τῇ δημοσίᾳ σφραγῖδι, ἵνα ἴδῃς.

Ἀπολλώνιος ἐφόροις καὶ Λακεδαιμονίοις. 66

Ἄνδρας ὑμᾶς ἐθισόμενον ὑπήνην μὴ ἔχοντας, τοὺς μηροὺς δὲ τὰ σκέλη λείους τε καὶ λευκούς· μαλακὰς χλανίδας ἠμφιεσμένους λεπτὰς, δακτυλίους πολλοὺς καὶ καλοὺς περικειμένους, ἰσοδεδεμένους ἰσόδημα τὸ Ἰωνικόν. οὐκ ἐπέγνων τοὺς λεγομένους τρέσβεις· ἡ δὲ ὄψις ἡ Λακεδαι-

μονίους ἔφασκεν.

Τοῖς αὐτοῖς. 67

Καλεῖτέ με πολλάκις βοηθὸν ὑμῖν τῶν νόμων καὶ τῶν νέων ἐσόμενον. ἡ Σόλωνος δὲ πόλις οὐ καλεῖ με· Λυκοῦργον αἰδεῖσθε.

Ἐφεσίων τοῖς ἐν Ἀρτέμιδι. 68

Ἔξος ὑμῖν ἅπαν ἁγιστείας, ἔξος ἢ βασιλικῆς ὑμῶν. ἀλλ' ὑμεῖς, ἑστιάτορες μὲν καὶ δαιτυμόνες οὐ μεμπτοί, μεμπτοὶ δὲ συοίκοι τῇ θεῷ, νύκτας τε καὶ ἡμέρας. ἢ οὐκ αἰ κλέπται τε καὶ λῃσταὶ, καὶ ἀνδραποδισταὶ, καὶ πᾶς εἴτις ἄδικος, ἢ ἱεροσύλος, ἰῶ ὁρμώμενος αὐτόθεν. τὸ γὰρ τῶν ἀποστεροῦντων, τύχης ὄζιν.

Τοῖς αὐτοῖς. 69

Ἦλθεν ἐκ τῆς Ἑλλάδος ἀνὴρ Ἕλλην τὸ φύσιν, οὐκ Ἀθηναῖος, οὐδὲ Μεγαρεύς, γελοῖον ὄνομα, παροικήσων ὑμῶν τῇ θεῷ. δότε μοι τόπον ἔνθα μὴ καθαρσίων δέησις μοι, καὶ ὅθεν ἔνδον ἀεὶ μένω.

Τοῖς αὐτοῖς. 70

Ἀνεῖται θύουσι τὸ ἱερὸν, ἀλεκτρυόνοις, ὑμνοῦσιν, ἰκέταις· Ἕλλησι, βαρβάροις· ἐλευθέροις, δούλοις. ὑπερφυῶς θεῖος ὁ νόμος. ὑπογινώσκω τὰ σύμβολα τὰ Διός τε καὶ Λητοῦς, ἐὰν μόνα ταῦτα.

Μιλησίοις. 71

Σεισμὸς ὑμῶν τὸ γλῶσσαν ἔσεισε· καὶ γὰρ ἄλλων πολλῶν πολλάκις. ἀλλ' ἔπαθον μὲν ἃ ἠτύχουν ἐξ ἀνάγκης, ἐλεούμενοι δὲ οὐ μισούμενοι ἀλλήλοις ἐφαίνοντο. μόνοι δὲ ὑμεῖς καὶ θεοῖς ὅπλα καὶ πῦρ ἐπενέγκατε, καὶ θεοῖς θεομάχοις ὦν καὶ οἱ ἑτέρωθεν δέονται, καὶ μετὰ κινδύνους καὶ πρὸ κινδύνων. ἀλλὰ καὶ φιλόσοφον ἄνδρα * * * ὑμεῖς Ἑλλήνων δύο, δημοσίᾳ τὸ πάθημα φήναντα πολλάκις, καὶ προαγορεύσαντα γλυμμένους τοῖς σώμασιν αὐτὸν, ὅτε ἔσωσεν ὁ θεὸς, πιεῖν ἐλέγετε καθ' ἑκάστην ἡμέραν. ὦ τῆς δημοσίας ἀμαθίας. καὶ πατὴρ ὑμῶν λέγεται Θαλῆς.

Τραλλιανοῖς. 72.

Πολλοὶ πολλαχόθεν, ἄλλοι κατ' ἄλλας αἰτίας, νεώτεροί τε καὶ πρεσβύτεροι φοιτῶσι παρ' ἐμέ. τὰς φύσεις οὖν ἑνὸς ἑκάστου σκέπτομαι, καὶ τοὺς τρόπους, ὡς ἔνι μάλιστα σωφρονέστατα, τό, τε πρὸς τὴν ἑαυτοῦ πόλιν ἑκάστου δίκαιον ἦθος, ἢ τοὐναντίον. εἰς τοῦτο δὲ τὴν ἡμέραν οὐκ ἂν ἔχοιμι προκρῖναι Τραλλιανῶν ὑμῶν οὐ Λυδοὺς, οὐκ Ἀχαιοὺς, οὐκ Ἴωνας· ἀλλ' οὐδὲ τοὺς τῆς ἀρχαίας Ἑλλάδος Θουρίους, Κρότωνας, Ταραντίνους, ἢ ἄλλους ἄλλοις τοῦ ὀκεῖ λεγομένων ἀδαιμόνων Ἰταλιωτῶν, ἢ ἑτέρων τινῶν. τίς οὖν ἡ αἰτία, δι' ἣν ἀποδέχομαι μὲν ὑμᾶς, οὐ γίνομαι δὲ τοιούτοις ἀνδράσι συοίκος, καίτοι ὢν ἡμέτερον; ἄλλοτε ποτ' ἂν εἴποιμι· νῦν δὲ μόνον ὑμᾶς ἐπαινεῖν καιρός, ἄνδρας τε τοὺς ἡγεμονικοὺς ὑμῶν ὡς πολὺ κρείττους τοῦ παρ' ἑτέροις, ἀρετῇ καὶ λόγῳ, καὶ μᾶλλον παρ' οἷς γεγόνασι.

Σαΐταις. 73

Ἀθηναίων ἀπόγονοι ἐστὲ, καθάπερ ὁ Τίμαιος Πλάτων φησίν. οἱ δὲ τοῦ κοινοῦ ὑμῶν θεὸν ἐξορίζουσι τὸ Ἀττικῆς, Νῆϊν μὲν, τοῦ ὑφ' ὑμῶν, Ἀθηναῖ δὲ, τοῦ ἀπ' αὐτῶν ὀνομαζομένου, οὐ μέντοι Ἕλληνες. ὅπως δ' οὐ μέντοι, ἐγὼ φράσω. γέρων σοφὸς οὐδεὶς Ἀθηναῖος. οὐ γὰρ ἔφυ γυνὴ πᾶσα παντὸς, ὅτι μηδεμία μηδενός. ὁ κόλαξ, περὶ τὰς πύλας· ὁ συκοφάντης, περὶ τοὺς πυλῶνας· ὁ μάγειρος, καὶ περὶ τοὺς μαγείρων τοίχους· ὁ βδελυκτὸς, περὶ τὴν Μουσυχίαν, καὶ περὶ τὸ Γειραιῶς. ὁ θεὸς δὲ οὐδὲ Σωσίου ἔχει.

Ἴωσιν. 74

Ἕλληνες οἴεσθε δεῖν ὀνομάζεσθαι, διὰ τὰ γένη, καὶ τοὺς ἐμφερεστάτους ἀποικίαν· Ἕλλησι δὲ, ὡς περ ἔθη καὶ νόμοι, καὶ γλῶττα, καὶ βίος ἴδιος, οὕτω καὶ σχῆμα καὶ εἶδος ἀνθρώπων. ἀλλ' ὑμῶν γε οὐδὲ τὰ ὀνόματα μένει τοῖς πολλοῖς, ἀλλ' ὑπὸ τῆς νέας ταύτης δαιμονίας ἀπολωλέκατε τὰ τῶν προγόνων σύμβολα. καλῶς οὐδὲ τοῖς πάθοις ἐκεῖνοι δέχοιντ' ἄν, ἅτε ἀγνῶτας αὐτοῖς γενομένους. εἴγε πρότερον

ἡρώων ἰῶ ὀνόματα, καὶ ναυμάχων καὶ νομοθετῶν· νυνὶ
δ' Λουκούλλων τε καὶ Φανελίων, καὶ Λβυκανίων θ' μα-
καρίων. ἐμοὶ μὴ εἴη μᾶλλον ὄνομα Μίμνερμος.

Ἐσταίῳ. 75

Ὁ πατὴρ ἡμῶν Ἀπολλώνιος ἰῶ τεὶς τῦ Μιλησόδου· σὺ
δ' ἅπαξ ἐθέλεις ὀνομάζεσθαι Λουκρίπος, ἢ Λύκαρκος. Τί-
νος σὺ τούτων ἀπόγονος; αἰσχρόν, εἰ ὄνομα μὴ ἔχοις τινός,
τὸ δὲ εἶδος αὐτὸ μὴ ἔχοις.

Τῷ αὐτῷ. 76

Γατείδος ἐσμὲν πορρωτέρω σοὶ δαίμονι· ἤδη δὲ τὰ τῆς
πόλεως πρήγματα ἐν νῷ ἐβαλόμην. ὁδεύει μοῖρα πρὸς
τέλος ἀνδρῶν, οἳ τὰν πρόσθεν λελόγχασι τιμάν. ἀρξει δὲ
τοιοῖσδε παιδάρια, καὶ μικρὸν ἐπάνω τούτων μείονες.
ἐνθαῦθά που δεῖ μὴ σφαλῆ τὰ τοῦ νέων κυβερνώμενα.
σοὶ δ' οὐ δεῖ, ἐπεὶ βεβιώκαμεν.

Τοῖς Στωϊκοῖς. 77

Ὦρα καὶ λιμὸς ἰῶ Βάσσε, καὶ πάρ ὄντων τῷ πατρὶ συ-
χνῶν χρημάτων. πρόσθον μὲν οὖν ἔφυγε Μεγάρασδε, σὺν
ἐνὶ τῶν λεγομένων ἑπτὰ σοφῶν, ἅμα δὲ καὶ μαστροπῶν (σοφῆς
γὰρ ἀμφοτέροις ἔδει, καὶ ἐφοδίων) ἔπειτα ἐκεῖθεν εἰς Συ-
ρίαν. ὑπεδέχετο δὲ τὸν ὡραῖον Εὐφράτης, καὶ εἶπε ὁμοίως
ἐδεῖτο τοῦ τότε καλοῦ, ὥστε αἱρεῖσθαί τι τῶν ἀπόντων δι' εὔ-
νοιαν.

Τοῖς ἐν Σάρδεσιν. 78

Ὁ παῖς Ἀλυάττεω σῶσαι τὴν ἑαυτῦ πόλιν ἀδυνάτως
ἐχόντι καὶ ἀμήχανος, καίπερ ὢν βασιλεύς τε καὶ Κροῖ-
σος· ὑμεῖς δὲ ποίῳ πεποιθότες ἄρα λέοντι, πόλεμον ἄσπον-
δον ἤρασθε; παῖδες, νέοι, πάντες, ἄνδρες, γέροντες· ἀλλὰ
καὶ παρθένοι, καὶ γυναῖκες. Εὐννύων νομίσαι ἄν τις τὴν
πόλιν εἶναι, καὶ οὐχὶ Δήμητρος. ἡ δὲ θεὰ, φιλάνθρωπος· ὑμῖν
δὲ τίς ἐστ' ὁ χόλος;

Τοῖς αὐτοῖς. 79

Εἰκὸς εἰς πόλιν ἀρχαίαν τε καὶ μεγάλην ἐθελῆσαι φι-

λόσοφον ἀρχαῖον ὠθαγγέλης. καὶ παρεγχώμιω αὖ αὐτὸς ἐκὼν, κλη θῶμαι μὴ ὠθειμείνας, ὡς ὑφ' ἑτέρων πολλῶν, εἰ ποιήσην μίαν ὑμῶν τὴν πόλιν ἔμελλον, ἤθη, καὶ φύσει, ⁊ νόμῳ, καὶ θεῷ. καὶ τὸ ὅσον ἐπ' ἐμοὶ, πάντως αὖ ἐποίησα. σάσις ᾖ, ὡς ἔφη τις, πολέμου χαλεπώτερον.

Φοιτητὰς. 80

Διὰ φιλοσοφίαν εἵρηται τῶν εἰρημένων ἕκαστον, οὐ δὶ Εὐφράτην. μὴ τὸ Γραῦκιτέλους ξίφος ἢ τὸ Λισίου φάρμακον προσθῆναι μέ τις δόξῃ. ⁊ πῶς γὰρ ὅσιν Εὐφράτου.

Σιτοκαπήλοις. 81

Ἡ γῆ, πάντων μήτηρ (δικαία γάρ) ὑμεῖς δὲ ἄδικοι ὄντες, πεποίησθε αὐτὴν ἑαυτῶν μόνων μητέρα. ⁊ εἰ μὴ παύσησθε, οὐκ ἐάσω ὑμᾶς ἐν αὐτῇ ἐσάναι.

Βασιλεῖ Φραώτης Ἰάρχα διδασκάλῳ, καὶ τοῖς σὺν αὐτὸν σοφοῖς.

Ἀπολλώνιος ἀνὴρ σοφώτατος σοφωτέροις ὑμᾶς ἑαυτοῦ ἤγεῖται· καὶ μαθητόμβροτος ἥκει τὰ ὑμέτερα. πέμπετε οὖν αὐτὸν εἰδότα ὁπόσα ἴστε. ὡς ἀπολεῖται οὐδὲν τῶν μαθημάτων ὑμῖν. καὶ γὰρ λέγει ἄριστα ἀνθρώπων, ⁊ μέμνηται. ἰδέτω ⁊ τὸν θρόνον ἐφ' οὗ καθίσαντί μοι, τὴν βασιλείαν ἔδωκας Ἰάρχα πάτερ. ⁊ οἱ ἑπόμβροι δὲ αὐτῷ ἄξιοι ἐπαίνου, ὅτι τοιοῦδε ἀνδρὸς ἥπλωνται.

Ἀπολλώνιος τοῖς αὐτοῖς. 82

Ἀφικόμβρω μοι πεζῇ πρὸς ὑμᾶς ἐδόκατε τὴν θάλασσαν. ἀλλὰ ⁊ σοφίας τῆς ἐν ὑμῖν κοινωνήσαντες, δεδώκατε καὶ δι' ὃ οὐ χρεὼν προβύεσθαι. μεμνήσεσθαι τύπων ⁊ πρὸς Ἕλληνας. κοινωνήσω τε ὡς παροῦσι λόγων, εἰ μὴ μάτην ἕπομαι τῷ Ταντάλου.

Τίτῳ βασιλεῖ.

Μὴ βουληθέντι σοὶ ἐπ' αἰσχύνῃ κηρύττεσθαι, μηδ' ὅτι δίκαιον ἅμα, δίδωμι ἐγὼ τὸν σωφροσύνης στέφανον· ἐπειδὴ ἐφ' οἷς δεῖ φανῆναι, γινώσκεις.

Δημητρίῳ Σουνιεῖ. 84

Δίδωμί σε βασιλεῖ Τίτῳ διδάσκαλον τῆς βασιλείας ἤθους· οὐ δὲ ἀληθεύσαί τε μετρίως αὐτὸν δίδου, ξυγίγνου αὐτῷ, πλὴν ὀργῆς, πάντα.

Αὐτοκράτωρ Οὐεσπασιανὸς Ἀπολλωνίῳ φιλοσόφῳ χαίρειν.

Εἰ πάντες, Ἀπολλώνιε, κατὰ ταυτά σοι φιλοσοφεῖν ἤθελον, σφόδρα αἱ ἀδαμόνως ἔτρεχον φιλοσοφία τε καὶ πενία. φιλοσοφία μὲν ἀδεκάστως ἔχουσα· πενία δὲ, αὐθαιρέτως. Ἔρρωσο.

ΤΩΝ ΦΑΛΑΡΙΔΟΣ ΕΠΙΣΤΟΛΩΝ ΤΙΝΕΣ.

Λεοντίνοις. 1

Εἰ καταλῦσαί με τὸν πρὸς ὑμᾶς ὁρμήσεσθε πόλεμον, μηδὲν αἰδεσθέντες, ἔκδοτέ μοι Λυκῖνον· ἵνα τῇ ὀργῇ ἅπασαν εἰς τοῦτον ἀφεὶς, παύσωμαι τοῦ πρὸς τὴν πόλιν θυμοῦ. χρήσομαι δὲ οὐδὲν αὐτῷ χαλεπώτερον ἢ πάντας ὑμᾶς ὀπίσω βουλομένους.

Ζβυξίππῳ. 2

Τῷ μὲν ἐμῷ σοῦ διὰ τὴν νεότητα συγγινώσκω, σοὶ δὲ διὰ τὸ γῆρας, καίτοι ἀσύγγνωστα πεποιηκόσιν. ἀλλὰ μήποτε μὴ παύσησθε τῆς ἀνοίας, οὔτε ἐκεῖνον ἡ νεότης, οὔτε σὲ τὸ γῆρας ἐξαιρήσεται. διὸ ταῦτα καὶ μᾶλλον κολασθήσεσθε, διὰ ἃ νῦν συγγνώμης ἀξιοῦσθε.

Εὐμήλῳ. 3

Οὔτε δοκοῦντος οὔτε ὄντος ἀδίκου τὸν κατάρξαντα πλημμελεῖν, ἀμύνεσθαι, τὸ πρόσθεν γεγόνοτος ὑπὸ σοῦ, τὸ δεύτερον ἀφ' ἡμῶν ἔσεσθαι προσδέχου.

Ἀμφινόμῳ. 4

Οὐ δίδοναι χάριτας οἶομαι, δωρούμενος ἀγαθοῖς ἀνδράσιν, ἀλλὰ πολὺ μᾶλλον παρ' αὐτῶν λαμβάνειν. ὅθεν ἀξιῶ, μὴ ὡς προδεδωκότα με χάριν, ἀλλ' ὡς προσοφείλοντά σοι, διὰ τὸ βουληθῆναί σε λαβεῖν ἃ ἐπέμψαμεν, χάρε.

Ἀντιμάχῳ. 5

Εἰ μὲν ἔχων οὐκ ἀπεδίδουν τὸ δάνειον, ἐκὼν εἶν πονηρός· εἰ δ' οὐκ ἔχων, ἀδικεῖς μέν, τὸ δὲ ἀκούσιον διὰ τοῖς ἀνθρωπίνοις λογιζομένοις, συγγνώμης ἀξιοῦται. ἢ δὲ συγγνώμη γίνωσκε ὅτι μέλλησίς ἐστιν ἀπολήψεως, οὐ παντελὴς χρημάτων ἀπώλεια.

Νικία. 6

Ἐφ' οἷς μισεῖς σου τὸν υἱὸν ὅπλοις σοις οὐ μιμεῖται ζῆπος, ὑπὸ τῶν ἀνθρώπων πάντων φιλεῖται. σοὶ δὲ οὐδὲ ὅπ πάντες οἱ τοῦτον φιλοῦντες, σὲ μισοῦσι.

Ἀνταθένει καὶ Θεοπόμῳ. 7

Τῶν ὑπ' ἐμοῦ πεμφθεισῶν δωρεῶν Ἀνταθένης μὲν τὸ μέρος ἐδέξατο, Θεόπομος δ', οὔ. διὸ τῷ μὲν οἶδα χάριν, τὸν δ' οὐ μέμφομαι. ὁ μὲν γὰρ οὐδὲν ἠλάττωσέ με λαβὼν, ὁ δὲ οὐδὲν ἐζημίωσε.

Δημαρέτῳ. 8

Μὴ θαύμαζε τὸν Ἀλκίνου τὸ Δορυμβίου θάνατον, ὡς μετὰ πικρίας καὶ τραγικῆς ὠμότητος πεπραγμένον. πολλῷ γὰρ ἔτι θαυμασιώτερον, δίς τε καὶ τρὶς ἀδείας ἀξιωθέντας ὑπὸ τοῦ τράγου, τότε κολασθῆναι.

Ἱέρωνι. 9

Πολλὰ λέγειν οὐκ ἔχων καὶ κατ' ἐμοῦ, καὶ σοὶ ἥς κατ' ἐμοῦ πεφλυάρηκας ἐν Λεοντίνοις δημοκοπίας, οὐδὲν ἔρως σοὶ λοιδορότερον, πλὴν ὅτι κώνωπος ἐλέφας Ἰνδὸς ὑπ' ἀλεγίζει.

Λεοσθενέτῳ. 10

Οὐ λυπεῖ με τὸ γῆρας. οὐ γὰρ ἡ τῆς τραγῳδίας ἰσχὺς γεγήρακεν, ἀλλὰ Φάλαρις. λυπεῖς δέ με σύ, λίαν ὑποφοβούμενός μου. τὸ γὰρ εἰμαρμένον ἥξει, κἂν Λεοσθένης μᾶλλον ἢ δεῖ φοβηθῇ.

Πολλῷ δὲ κρεῖττόν ἐστι, μὴ δεδοικότα
Παθεῖν τὸ μέλλον δεινὸν, ἢ δεδοικότα.

ἵνα σοὶ καὶ μετὰ τῶν ἀποδειγμάτων ποιητικῶν ὑπογέλω.

Καμαρινταίοις. 11

Καὶ εἰς Γέλαν ἔπεμψα καὶ εἰς Λεοντίνους· ἐγὼ δὲ ὑμᾶς πέμψαι δεῖν ὠήθην, ὅπως μοι συλλάβησθε εἰς τὰ παρόντα, οὐχ ὅπλων οὐδὲ ἵππων δεομένῳ, οὐδὲ ἀνδρῶν (ὧν κενὸν εἶ) λέγετε τὴν πόλιν) ἀλλ' ἀργυρίου. καὶ Λεοντῖνοι μὲν ἡμῖν ἔπεμψαν πέντε τάλαντα ἀργύρου, Γελῷοι δὲ ὑπέσχοντο δέκα δώσειν. ὑμᾶς δ', οὔτε βραδυτέρους

Λεοντίνων, οὔτε μικροπρεπεστέρους ἔσεσθαι Γελλάων ὑπολαμβάνω.

Ἀξιόχῳ. 12

Σεμνύεσθαι μὲν ὥσπερ ἐπ' ἄλλῳ τινὶ τῶν καλῶν, καὶ ἐπ' ἀληθείᾳ, εἰκός ἐστιν. ἐγὼ δὲ μίαν ἀληθείαν, ἀρετὴν οἶδα, τὰ δ' ἄλλα πάντα τύχῃ. καὶ γοῦν τὸν μὲν οὐκ φαύλων ἀγαθὸς, καὶ βασιλέων καὶ πάντων ἀληθέστατος· ὁ δ' ἐξ ἀγαθῶν φαῦλος, αὐτός τε ἑαυτῷ καὶ τῶν ταπεινοτάτων δυσληθέστατος. ὥστε ψυχῆς ἔπαινον αὐχεῖ θεὸς συνακουσίοις, μὴ σεσόφων τεθνηκυῖαν ἐν ἀδοξοτέροις διδόχοις ἀληθείαν.

Τιμολάῳ. 13

Τὸ μηδὲν ἁμαρτάνειν, εἰκότως ἴσως καὶ δικαίως θεοῦ νομίζεται· τὸ δ' ἁμαρτόντα, τοῦτῳ αὖτῳ θεὸς τὸ μέλλον σεσωφρονίσθαι, ἀνθρώπου. τὸ μὲν τοι μηδὲν παίσαντα καὶ ἀτυχήσαντα πεφυλάχθαι, οὐκ οἶδα ἄλλου τινὸς ὑπολειφθῆναι δυνάμενον, ἢ κακοῦ. αἰσχρὸν οὖν (ἐπὶ γὰρ ἔγγιον σεσοφισθυσόμεθα) ἑτέροις σῴζεσθαι σημεῖον τὸ ἀβουλίας γενόμενον, αὐτὸν ἑαυτῷ μηδὲν ὠφέλιμον γενέσθαι.

ΤΩΝ ΙΟΥΛΙΑΝΟΥ ΑΥΤΟΚΡΑΤΟΡΟΣ ΕΠΙΣΤΟΛΩΝ ΤΙΝΕΣ.

Ἰουλιανὸς Λιβανίῳ. 1

Ἀνέγνων χθὲς τὸν λόγον σου ἀείστου χαρίεντος. ἀρισήσας δὲ, πρὶν ἀναπαύσασθαι, τὸ λοιπὸν προσαπέδωκα τῆς ἀναγνώσεως. μακάριος εἶ, λέγειν οὕτω, μᾶλλον δὲ φρονεῖν ὅτω δυνάμεως. ὦ λόγος. ὦ φρένες. ὦ σωφροσύνης. ὦ διαίρεσις. ὦ ὀνομάτων. ὦ τάξις. ὦ ἁρμονίας. ὦ λέξις. ὦ ἁρμονία. ὦ σωφήκη.

Ἰουλιανὸς Μαξίμῳ φιλοσόφῳ. 2

Ἀλέξανδρον μὲν τὸν Μακεδόνα τοῖς Ὁμήρου ποιήμασιν ἐφυπνώττειν λόγος, ἵνα δὴ καὶ νύκτα καὶ μέθ' ἡμέραν αὐτοῖς τοῖς πολεμικοῖς ὁμιλῇ σωφήμασιν· ἡμεῖς δέ σου ταῖς ὀπισολαῖς, ὥσπερ παιγνίοις ἢ φαρμάκοις, συγκαθεύδομεν καὶ οὐ διαλείπομεν ἐντυγχάνοντες ἀεί, καθάπερ νεαρᾶς ἔτι, καὶ πρόσφορον εἰς χεῖρας ἥκούσας. εἴπερ οὖν ἐθέλεις ἡμῖν εἰκόνα τῆς σῆς παρουσίας τινὰ ἐν τοῖς γράμμασιν ὁμιλίαν προξενεῖν, γράφε, καὶ μὴ λῆγε συνεχῶς τοῦτο πράττων. μᾶλλον δὲ ἧκε σὺ θεοῖς· ἐνθυμούμενος ὡς ἡμῖν ἕως ἂν ἀπῇς, οὐδὲ ὅπως ζῶμεν, εἰπεῖν ἔστιν· ἢ ὅτε μόνον τοῖς πρὸς σοῦ γραφομένοις ἐντυχεῖν ἔξεστιν.

Ἰουλιανὸς Γρηγορίῳ ἡγεμόνι. 3

Ἐμοὶ καὶ γράμμα πρὸς σοῦ μικρὸν ἀρκεῖ μεγάλης ἡδονῆς πρόφασιν μνησθῆναι. ἐγὼ δίνιω οἷς ἔγραψας, λίαν ἡδεῖς, ἀντιδίδωμι καὶ αὐτὸς τοιοῦτον· οὐ τῷ τῶν ὀπισολῶν μήκει μᾶλλον ἢ τῷ τῆς διανοίας μεγέθει τὰς τῶν ἑταίρων φιλίας ἐκτείνεσθαι δεῖν κρίνων.

Ἰουλιανὸς Λουκιανῷ σοφιστῇ. 4

Γράφω, καὶ αὐτυχεῖν ἀξιῶ τοῦ ἴσου. εἰ δὲ ἀδικῶ, συνεχῶς ὀπισέλλων, αἰτοῦμαι δικασθῆναι δέομαι τῶν ὁμοίων παθῶν.

Μαξίμῳ φιλοσόφῳ. 5

Χρὴ ξεῖνον παρεόντα φιλεῖν, ἐθέλοντα δὲ πέμπειν, Ὅμηρος ὁ σοφὸς ἐνομοθέτησεν· ἡμῖν δὲ ἐπαρχὰς ποιεῖς ἀλλήλοις ξενικῆς φιλίας ἀμείνων, ἥ τε δι' ἐπιστολῆς καὶ τῆς εἰς τοὺς θεοὺς ἀσεβείας. ὥστε οὐκ ἄν με τις ἐχάλεπα δικαίως τὸν Ὁμήρου παραβαίνοντα νόμον, εἰ μὴ δεῖ πλείον σε μένειν παρ' ἡμῖν ἀξιώσαιμι. ἀλλά σοι τὸ σωμάτιον ἰδὼν ὑπομελείας πλείονος δεόμενον, ἐπέτρεψα βαδίζειν εἰς τὴν πατρίδα· καὶ ῥαστώνης ἐπιμελήσην τῆς πορείας. ὀχήματα γοῦν ἔξεστί σοι δημοσίᾳ χρήσασθαι. πορεύοιεν δέ σε σὺν Ἀσκληπιῷ πάντες οἱ θεοί, καὶ πάλιν ἡμῖν σωτυχεῖν δοῖεν.

Ιουλιανὸς Δοσιθέῳ. 6

Μικροῦ μοι ἐπῆλθε δακρύσαι. καίτοιγε ἐχελῶ ἐφ' ἡμῖν τοὔνομα τὸ σὸν φθεγγόμενον. ἀνεμνήσθην γὰρ τοῦ γυναίου καὶ πάντα θαυμασίου παῖδος ἡμῶν. οὗ εἰ μὴ ζηλώσεις, καὶ αὐτός τε ἀθάλμων ἔσῃ, καὶ τῷ βίῳ δώσεις, ὡς ἐκεῖνος, ἐφ' ὅτῳ φιλοτιμήσονται. ῥᾳδιμήσας δὲ, λυπήσεις ἐμέ· σαυτῷ δ', ὅτε μηδὲν ὄφελος, μέμψῃ.

Ἀνεπίγραφος. 7

Γαίτων μὲν ἕνεκα μοὶ τὸ σῶμα διάκειται μετρίως. οὐ μὴν ἀλλὰ καὶ τὰ τῆς γνώμης ἔχει καλῶς. οἶμαι δ' ἐγὼ τούτου προοίμιον εἶναι μηδὲν κρεῖττον ὑπολαμβάνειν φίλου παρὰ φίλου πεμπομένην. ἵνα οὖν δῆτα τὸ προοίμιον; αἰτήσεως, οἶμαι. ἵνα δ' ἡ αἴτησις; ὑπολαβόντος ἀμοιβαίων. ἃς εἴπερ γε καὶ κατ' διάνοιαν ὁμολογήσαις ταῖς ἐμαῖς, αἴτια παρὰ σοῦ ταῦτα πρὸς ἡμᾶς ἐξαγγελοῦσας.

ΤΩΝ ΣΥΝΕΣΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΚΥΡΗΝΗΣ ΕΠΙΣΤΟΛΩΝ ΤΙΝΕΣ.

Ἰωαννῆ. 1

Ἀφοβία μελίση, τὸ φοβεῖσθαι τοὺς νόμους· σὺ δὲ αὐτοὺς ἡμῶν ἀεὶ φανιῶναι φοβούμενος. τετρωμένῳ δέδιθι τοὺς ἐχθρούς, καὶ μετὰ τούτων τοὺς δικαστάς, αἰ μὴ κλέπτωσι. κἂν κλέπτωσι μόνον, μὴ σὺ ᾧ ἧς ὁ τὰ πλείω δίδους, οὐδὲν ἧττον ἀλγεῖν. ὀργίζονται γὰρ τῶν νόμων ὅταν καὶ μισθοδότας προσλάβωσιν.

Ἀναστασίῳ. 2

Ἥδιον. ἀλλὰ πῶς οἴει; πάνυ μὲν οὖν ἀπὸ βαθείας τῆς γνώμης ἥδιον, μαθὼν τὰ χρυσᾶ παιδία τῇ τοῦ βασιλέως φωνῇ νόμῳ σοι παιδία γεγόμενα· μᾶλλον μέν, ὅπ σε φιλῶ· (ἵνα γὰρ αὖ δικαιότερον;) εἶθ' ὅπ πονηροὺς ἀνθρώπους μισῶ, ὧν τὰς ἐν σκότῳ καὶ γοητείαις ἐλπίδας ἡ χρησὴ τύχη τῶν παιδίων ὑπέμετο.

Διογένει. 3

Τοιοῦτόν ἐστιν ἡ Σύρων βυφή· καὶ συγγενῶν καὶ φίλων ὁπλίσμονας ἀποδείκνυσι. μιᾷ γὰρ οὐπω πέμπτος ἀφ' οὗ γράμμασιν ἡμᾶς οὐκ ἠασάσω· καὶ ταῦτα, δεύσης σοὶ τῆς φύσεως οὐ μόνον πρὸς χρείαν, ἀλλὰ καὶ πρὸς ἔνδειξιν καὶ φιλοτιμίαν, ἵνα γοργύειν ὁπτολάς. ἀλλ' αὖ αὐτὸς ὑγιαίνῃς, καὶ τὰ χρυσᾶ παιδία, καὶ ἡ καλλίπαις μήτηρ αὐτῶν, ἡμῖν καὶ πᾶσι ἄλλοις ἔχει.

Σιμπλικίῳ. 4

Ἔδει σοὶ τοῖς τύχαις τὰς γνώμας μὴ συνεξαίρεσθαι· μηδὲ τὸ μεμνῆσθαι τῶν πάλαι φίλων, ἔλαττον ἡγεῖ-

θαι τῆς παρούσης ἀξίας. οὐ δὲ ἡμῖν ὁπλήσμων ἐγγύς χρόνου συχνοῦ. χαλῶ δὲ οὐχί, καίτοι σφοδρᾶς διαθέσεως σωναγάσης ἡμᾶς ἀλλήλοις.

Τρωΐλῳ. 5

Ἀλλ' εἰ μήτε Κυρηναῖοι, μήτ' αἱ πόλεις ἀσυγκιτόνων ἀποπέμπουσί σοι χάειν ἀξίαν, ἀλλ' ὧν ὁ θαυμάσιος Ἀνασάσιος αὐτῆς χάφει, πάντως γε ἡ τοῦ Θεοῦ σοι θεοσέσαι χάεις, ᾧ σαυτὸν οἰκειοῖς τῇ κοινωνίᾳ τῆς ἀεργικῆς θεραπρέσεως. ἀδαιμονοίης ἄριστε φιλοσόφων. οὕτω γὰρ ἐμοί σε φίλον καλεῖν, ὥσπερ ἐπαγορεύει τὰ θεράπματα.

Κώνσαντι. 6

Εἰ δὲ φιλοσοφίας ὑμᾶς ἀρέτειν, οὐ μόνον ἐν τοῖς παροῦσι καὶ μεταχοῦσιν αὐτῆς, ἀλλὰ καὶ ἐν τοῖς ἀποῦσι ὑμῆσεις. ὁ δὲ θεασίσιος Ἀμμωνιανὸς, ὁ παρ' ἡμῖν ποτὲ τυχὼν ἀμείνονος λήξεως, ἐμοὶ δοκεῖ, πάρεστι καὶ ἀπεῖναι δοκῶν. τοῦτον συλλεγῆ σφόδρα αὐτανέψιον ὁ παρ' ὑμῖν Σωτήειχος ἀδικεῖ. δεῖξον ὅπι κήδῃ Διονισίου, καὶ πεπαύσεται Σωτήειχος ἀδικῶν.

Σιμπλικίῳ. 7

Ἀφιέναι φησὶ δεῖν ὁ Θεὸς τὰ ὀφειλήματα. ὀφείλει δὲ ὁ μὴ πᾶς δανείσμα χρισίου· ὁ δὲ, τὸ δοῦναι δίκλω. καὶ ὁ τοῦ λαβεῖν οὖν δίκλω ἐπαρισῶν, ἐπακούσῃ τοῦ Θεοῦ.

Γενναδίῳ Αὐξουσαλίῳ.

Ἐγὼ καὶ σοῦ κήδομαι ἢ τῶδε. σοῦ μὲν, ὡς μὴ ἀδικοίης· τῶδε δὲ, ὡς μὴ ἀδικοῖτο. εἰ δὲ καί σοι δοκεῖ, μετὰ τὸ Πλάτωνος, τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι μεῖζον εἶ) κακὸν, ἔοικά σοι μᾶλλον ἢ τῷδε χαείζεσθαι, δεόμενος ἐπ' αὐτῷ θεραπομένου δίκας ἐπ' ὧν οὐκ ἐξήμαρτεν.

Τῇ φιλοσόφῳ. 8

Ἠχοῦς ἔοικα θεᾶμα ποιεῖν· ἃς παρείληφα

φωνας αἰτιδίδωμι, τὸν θαυμασὸν Ἀλέξανδρον ἐπαγνῶν σοι.

Τῷ ἀδελφῷ. 9

Ἔλκει με σοῦ πόθος καὶ χεῖα· πωθάνομαι τίνων εἴ σοι μωεῖς ἤξοντα.

Κλιδονίῳ. 10

Συγγενής ἐμὸς ἀδικεῖται· σὺ δὲ καὶ φίλος εἶ καὶ δικάζειν ἔλαχες. ἐκ μιᾶς οὖν σοι προσοχῆς ἐπαρξει σοὶ κἀμοὶ καὶ τοῖς νόμοις χαρίσασθαι. ἐπαινῶ τίνων Ἀσφάλιος εἰς τὸ δικαστὴς εἶ τῶν κεραμίων, τῇ τοῦ παιδὸς δεδηγμένῃ προσλαβὼν τὴν ἀπόφασιν, τῆς κατηγορίας οὐκ ἐσομένης ἐμποδὼν τῷ παραυτίκα τῆς ἀκροάσεως. πότε γὰρ δεῖ δικαιοδοτεῖν, ἢ τὸν χρόνον ἐν ᾧ μάλιστα τυγχάνωμεν δεόμενοι τοῦ θεοῦ;

Ὀλυμπίῳ. 11

Λυποῦσι τὴν ἐκκλησίαν ἀλιτήριοι πονηροί. δεδήχθη κατ' αὐτῶν. οἱ παλαιοὶ γὰρ παλαίοις ἐκρούοντας.

Ἰωάννῃ. 12

Χρῆσθαι δεῖ ταῖς τῶν δυνατῶν φιλίαις, οὐ καταχρῆσθαι.

Τῷ αὐτῷ. 13

Μὴ αἴτει μεγάλα· ἵνα μὴ δυοῖν θάτερον, ἢ τυγχάνων λυπῇς, ἢ μὴ τυγχάνων λυπῇ.

Τῷ ἀδελφῷ. 14

Ἄμφω τοὺς Διονυσίους ἀπέστελλα· ἵνα τῶν βιβλίων τὸ μὲν ἧς εἰληφώς, τὸ δ' ἀπειληφώς.

Ἀνισίῳ. 15

Οὐκ ἐθέλει τὸ σκοτεινὸν ἄλλο τι φῶς καὶ τὸ σκότος, ἀλλὰ νόμῳ φύσεως τοῦτο εἴρηται. ἐπανελθόντες ἀπὸ τῆς σῆς πομπῆς, Ἀνδρόνικον κατελάβομεν.

Χρύσῃ. 16

Οὐχ ὅτι μοι παιδίων συγγενὴς ἐστὶν ὁ θαυμασὸς Γερόντιος, συνίστημι τὸν νεανίσκον τῇ φιλίᾳ τῇ σῇ· (καὶ τοῦτο μὲν γάρ) ἀλλ' ὅτι πρέπων ἐστὶ τὸ χρυσοῦ Χρύσου τοῖς τρόποις, εἰ δεῖ με

δεῖ με τὸ ψυχρὸν εἰπεῖν & Γοργιάδιον. πάντως μᾶλλον ὄξιν ἀληθές, εἰπεῖν σε εἴ ἀπάσης ἀρετῆς ἔσω, καὶ τὴν διδόντα σοὶ τὼ ὀψωνίω, ἀξιώτατον ἀπολαύειν σοῦ τῆς σωφροσύνης.

Τῷ ἀδελφῷ. 17

Μῆκος ὀψωνίης ἀνοικειότητα κατηγορεῖ τοῦ διακομίζοντος· ἀλλ' ὁ θαυμασὸς Γερόντιος οἶδεν ὧν ὅσα καλῶς εἰ ἢ μὴ ποθ' τὸ ψυχρὸς ἀνοικείως εἶχε, διηγήσατο ἂν καὶ ὧν ἠπίσατο πλείονα· τῷ φιλεῖν ἐμέ, καὶ τῷ γλῶτταν ἔχειν ἀρκοῦσαν τῇ γνώμῃ. ὃν ἂν ἴδῃς ἥδεως, εἴδες ὡς ἐγὼ βούλομαι.

Τῷ αὐτῷ. 18

Δέδεξο μετὰ τῆς ἐμψύχου καὶ τὼ ἄψυχον ὀψωνίω· μετὰ τὸ θαυμασοῦ Γερονπίου, ταῦτα τὰ γράμματα, νόμῳ τὸ πλέον ἢ τῇ χρείᾳ δ' ποθεῖπεῖν σε γλυκύμφα. ὅπ γὸ ἡμεῖς συζῶμεν τῇ ποθεὶ σοῦ μνήμῃ, μυρίων ὀψωνίων μακρῷ μεγαλοφωνότερον ὁ νεανίσκος ἂν διηγήσαιτο.

Τῷ αὐτῷ. 19

Ἐπισολιῶ ἐπέθηκα τῷ θαυμασῷ Γεροντίῳ, ποθ' τὼ ἱερόν σου καὶ πειπόθητον κεφαλὼ τῆς ποθούσης ἐντεύξεως παρέξουσαν ποθάσιν. τότε μὲν γὸ αὐτὸν ἴσως δι' ἐμὲ μιμήσεις· μετὰ δ' τὼ πιεῖν, ἕτερον ἴνα δι' αὐτόν.

Τῷ αὐτῷ. 20

Ὦ. δέδωκα τὼ ὀψωνίω, ταμίας ὄξι καὶ σπανότης τῶν Δαλματῶν τάγματος. πάντας δ' ἐγὼ τοὺς Δαλμάτας ἴσα ἐχ τοὺς ἡμέας ἔμω. δῆμος γὸ εἰσι δ' λαχούσης με πόλεως. μόνα ἰῶ ταῦτα μιμούσας ποθός σε. σὸν δ' τοῖς ἐμοῖς ὡς σαυτοῦ χρήσασθαι.

Τῷ ἀδελφῷ. 21

Κακὸν οὐ μικρὸν ἀπολαύτω τῆς ἀγερωχίας, τὼ ὄφων λίαν ἀληθεύων τὼ δράκοντα, οὗ ἴσθι ὅπ, καὶ ὑπὸ τῆς Λιβύων ἐρημιᾶς.

Τρωΐλῳ. 22

Οὔτε ὑπὸ τοῖς αὐτοῖς ἀνθρώποις φιλοῦσι καὶ ἐπαινοῦσιν· οὔτε μία δύναμις τῆς ψυχῆς ἐπ' ἄμφω τέτακται ταῦτα· ἀλλὰ τῷ παθητικῷ μὲν οἰκειούμεθα καὶ ἀλλοτριούμεθα, τῷ δὲ κρίνειν δυναμένῳ καὶ λόγον ἔχοντι τῆς ψυχῆς, ἐπαινοῦμέν τε καὶ μεμφόμεθα.

Θεοδώρῳ ἰατρῷ. 23

Ἀγαθὸν ἀναγκαῖον ἡ ὀλιγοσιτία· ἰῶ ἕτερος μὲν ἄν τις καὶ σκώψειε σοὶ δὲ οὐ θέμις, Ἱπποκράτει αὐχοῦντι· ὃς ἀφορίζων, τὴν ἔνδειαν ἔφη ὑγιείας εἶναι μητέρα.

Ἡλιοδώρῳ. 24

Ἡ φήμη λέγει δύο σε πολλὰ ὠφελῆσθαι τῷ νοῦ ἔχοντι τὴν Αἰγυπτίων ἀρχήν· καὶ ἀληθῆ λέγει. δικαιότατος γὰρ εἶ, καλῶς τῷ δύο θαυμάζειν χρώμενος. ὅπως οὖν ὄναιο τῆς σῆς φύσεως καὶ δυνάμεως ὑφ' ὧν ὁ ἐμὸς Εὐσέβιος δεῖται, λέγοντος ἄκουσον· ἵν' εἰδῇς ὅτι καὶ ῥήτορα σωτερήσαμεν.

Τῷ ἀδελφῷ. 25

Οἱ ἀσκληπιάδαι τοῖς δυσεμέτοις ὕδατος χλιαροῦ δίδοασιν ἀποῤῥοφεῖν, ἵνα τούτῳ σωτεπαπάσωνται καὶ τὸ ὠφελοῦν ἐμέσωσιν. βούλομαι δή σοι κἀγὼ φήμας καινὰς ἔναγχος ὑπὸ τῆς ἠπείρου διακομισθείσας ἀπαγγεῖλαι, ἵνα μοι πολλαπλασίους αὐτὰς ἀποδῷς, ὠφεληθεὶς εἴπερ πλέον εἰδὼς τυγχάνεις.

Πρὸς ὀπίσκοπον ἐξωθέντα τῆς ὀπισκοπῆς, μὴ βουληθέντα σωθῆναι τῷ Ἀρείου δόγματι. 26

Ἀπέλαβες ὅ,τι ἦς, οὐκ ἀπέβαλες. οὐ γὰρ ὅταν εἰς τὸ τῆς ἀσεβείας χωλωθῇ καταλόγου, τότε καὶ τῆς ἀσεβείας ἀπεστέρηται θρόνων. Αἰγύπτου δὲ πρωτεύουσαν τὴν ἀλλοτρίωσιν, καὶ νόμιζε πρός σε τὸν προφήτην μεγαλοφώνως κεκραγέναι, Τί σοι καὶ τῇ γῇ Αἰγύπτου, τὸ πιεῖν ὕδωρ Γεών; τὸ γὰρ ἔθνος, θρομάχον ἀρχαῖον, καὶ πᾶσιν ἁγίοις πολέμιον.

Τῷ ἀδελφῷ. 27

Ποιμήνιος ἔστ' ὁ πλὴν ὑπισχνοῦσοι δίδους, ἐσάλπη σὲ ἡμᾶς ὑπὸ τὸ μικρῷ πρότερον διωκισεύσαντος Ἀρταβαζάκου ὑπὲ τὰς οὐσίας ἁπάσας ὧν ἐν τοῖς τῇδε τόποις ἐγεγόνει κύριος· ἀλλ' ἐν ὑποθέσει ταύτῃ πρᾶον ἑαυτὸν παρέσχε καὶ μετριώτατον. καίτοι τίς ἕτερος οὕτως ἐχρήσατο τῷ καιρῷ; Ποιμήνιον δὲ οὐδεὶς Λιβύων πλὴν τότε δύναμιν ἐβαρύνετο. μέγα τεκμήριον· λυπεῖ τὰς πόλεις αἰσχρῶν. σὺ δέ μοι τὸν ἄνδρα φιλίως καὶ ὡς πρὸ εἰκὸς ἐπαίνεσον ὑπὲ καλοκἀγαθίας.

Δομετιανῷ σχολαστικῷ. 28

Τὰ δίκαια χρήζει συμμάχων· ἔστω δ' ἂν οἱ βοηθοῦντες αὐτοῖς δαίμονες, τοῖς ὀρθῶς ἔχουσι συμπονοῦντες. εἰλόμην δή σε τούτων πρόβολον, γνώμῃ τε ἀμείνοντα καὶ τέχνῃ. τὸ μὲν οὖν ἐμὸν, ἅπασιν ὧν ποιεῖν οἷς ἂν δύνωμαι· δίδου δ' αὐτὸς ἀφορμάς. ἀληθὴς γὰρ φιλίας, ἣν οὔτε αὐτὸς μέμψῃ, γελάσει τε ἴσως οὐδείς.



ΔΙΟΝΥΣΙΟΥ ΣΟΦΙΣΤΟΥ Α' ΑΝΤΙΟΧΕΙΑΣ ΕΠΙΣΤΟΛΑΙ.

Φιλοξένῳ ὀπισκόπῳ. 1

Πεῖγμα ἐμοὶ πιθανὸν, ὀπιστολὴ παρ' ὑμῶν. καὶ εἰθε μὴ ἐξεγλύετο μοι τὴ αὐτῆς σωτέναι τῆς φωνῆς· (οὕτω γὰρ αὖ ἥδιον ἔχον, ὥς περ ἔφασκες αὐτὸς ὁρῶν τὸ παθούμενον τὸν ὄφιν) οὐ μόνον ἀλλὰ καὶ εἰκόνας εἰώθαμεν ἀγαπᾶν τῶν ἐρωμένων, ὅταν αὐτοὺς μὴ δυνηθῶμεν ἰδεῖν. τὰ σύμβολα δὲ, ὅτι μὴ τῆς ἑορτῆς ἐστιν, ἀγαθά μοι δοκεῖ· διὸ δὲ παρ' ὑμῶν, διπλάσια δικαίως νομισθήσεται.

Διονισίῳ.

Αὐτὸν ἐδάκρυσα τὸν χιὼ, ἐπειδὴ τὸν σὴν ἤκουσα σιωπήν. εἰ γὰρ ὁ κύκνος σιγᾷ, τίς ᾄσεται μουσικόν; εἰ ὁ μεγαλόφωνος Διονύσιος μικρὰ φθέγγεται, πῶς οὐ σιωπήσεται; ὡς ἔδει τὸν ψυχὸν πολλοῖς σάμασιν ὀνηχεῖν, ὅπως αὖ ἦ τοῦτο καμοὶ τοῦ ὑπηρεσίαν τῆς τέχνης. δεινὸν γὰρ εἴ τις ἄρτιος αὐλητὴς, καταγόντων αὐτῷ τῶν αὐλῶν, δι' ἀπορίαν ὀργάνων εἰς θέατρον μὴ καταβαίνει.

Στεφανῷ. 3

Ὅτι γραμμάτων ἐμῶν ὀπιθυμεῖς, ἠγνόουν· ὡς ἂν ἠθόμην ἀφ' ὧν ὁ γραμματικὸς Βερονικιανός μοι διελέχθη, γράφων μὲν οὐ παύσομαι, φιλῶν δὲ οὐκ ἐπαυσάμην.

Εὐσεβίῳ. 4

Ποιήσαντες ὑμῶν ἐστιν, ἐποιήσατέ με καὶ θλιμρόν. ὥστε ὃ παύσομαι γράφων, κἂν πολλάκις αἰτιάσησθέ με θρασύτητος. τί γὰρ αὖ καὶ ποιήσειν ἄνθρωπος ἐρῶν, καὶ παύσασθαι μὴ δυνάμενος;

Τῷ τὰ ὀξίδια πέμψαντι. 5

Τοὺς κεράμους ὅτι μὲν εὐφυεῖς ἐπέγραψας εἶδον· ὅτι δὲ μὴ εὐσήμηκας ὄξους, ἐπιλαθόμην. τοῦτο γὰρ ὅτι γράφων

καὶ ἀληθεύειν ἐδόκεις, καὶ ἀσφαλεστέρους ἐποίεις τοὺς πειρωμένους· νῦν δὲ ὑπὸ τῆς ἀγνοίας ὡς οἶνον ἁρπάζοντες, λανθάνουσι κινδυνεύοντες.

Τῷ αὐτῷ. 6

Ἡ φιλόπονος καὶ δικαία σοὶ δωρεά, μέχρι μὲν τοσούτου αἰτήσασθαί σε ἐπιμελὲς ἰδεῖν αὐτὴν ὑπερεχούσαν, οὕτω μεγάλην οὖσαν ἐρυθριῶντα· ὡς δὲ ἔδει τὴν κεφαλὴν ἕνα πέμψαι φίλῳ γνησίῳ καὶ χρείαν ἐπιδημοῦσαν, τότε ἡδόμην ὅτι καὶ δόλον εἶχεν ἐν ἀπορρήτῳ, καὶ τὸν πέμψαντα ὡς ἀληθῶς ἐμιμεῖτο. γελοῖον δέ, ὅτι καὶ σημεῖον ἐπέθηκας αὐτοῖς ὃ μὴ ὀφεῖναι τὸν ἀπατώμενον. οὐδὲν δὲ ἀπεικὸς ἐπεπόνθεις αὖ, πολλάκις ἐφ' οἷς ἐπείθην διήμαρτον.

Τῷ αὐτῷ. 7

Οἱ κέραμοί σου κενοὶ μὲν ἦσαν ἀφέντες, ὅξος δὲ ἔφερον ἀνοιχθέντες. οὕτω καὶ ὀλίγον ἐν αὐτοῖς τοῦτο ἦρχε καὶ πονηρόν. ὥστε εἰ τοιαῦτα ὑμᾶς, ἀμείνων αὖ εἶης ἀγωμονῶν.

Τῷ ἄρχοντι Ἱεραπόλεως. 8

Οἱ τὰς ἀρχὰς ἐνδόξως μετιόντες, ὥσπερ ὑμεῖς, πλέον τοῦτο ὑπονοεύουσι, φίλους ποιεῖσθαι πλείους ἐν ταῖς ἀρχαῖς. γνώμη τοίνυν φίλοι τῆς μεγαλοφρεπείας τῆς σῆς, ἐμοί τε καὶ ὁ τιμῶν ὑμῶν ὑπηρέτης. ἐμοὶ μὲν, ὡς γεγραφώς· ὁ δὲ ἑταῖρος Μόδεστος, ὧν βούλεται ῥᾳδίως ὑπερτυχών. Εὐσεβίῳ. 9

Ἆρα μὴ φαίνωμαι βραδὺς εἰς ὑπηρεσίαν; ἢ τοὐναντίον καὶ ὀχληρός; ἀλλ' εἰ καὶ τὸ δεύτερον δοκοίην, αὐτὸς αἴτιος, ὑπερέλων, ὅτι μετέωρος ἡ χάρις ὑπὲρ ἐμοῦ ἀπόκρισιν ὠκνηρὰν ἐνεμύσατο.

Θεοδώρῳ. 10

Εἶδε σῶν καὶ πυθέσθαι ὅπως ἡμῖν τὸ σώματος ἔχεις· ἐπειδή σοι τοῦτο καὶ μόνον ἀνοχλεῖ. τὰ γὰρ τῆς ψυχῆς, ἀμείνω καὶ θᾶττον πέφυκε. κἂν ἀξαίμιλλον οὕτως ἔχῃ ἑτέροις, ὥστε δαιμονέστερον ἐντεῦθεν εἶναι τὸν χρόνον. χαίρει σοὶ ὁ σάκης ἀνδιδοὺς τὸ νόσημα, καὶ ποτὲ καὶ ὅσον νενίκηται.

καὶ ὅπως παρεχώρησε τῆς ἡμετέρας ἀρχῆς. τὸν δὲ ἑταῖρον Ἀρχέλαον ἐκ τῶν ὑμετέρων γραμμάτων ἔχω δι' ἀνοίας ἀεί, μεγάλῳ σύρασιν ἡγησάμενος ὄφιδι λιμῷ ἀνδρὸς ἀγαθοῦ.

Ἰλαρίῳ. 11

Ἆρα μὴ λέληθα ἐμαυτὸν εἰς παροιμίαν ἐλθών; καὶ γέγονα λύκος γαμὼν δι' ἐκείνης; καὶ πῶς ἂν πιστεύσειε ταῦτα ἐγὼ ἐμὲ τῷ παροιμίαν ἰσχύειν, ὅτε ὑμεῖς αὐτὴν εὐδοκίαν ἐποιήσατε, συζεύξαντες τὰ ἆθλα τοῖς ὀπτάγμασιν; εἰ μὴ οὖν, ὡς ἐγὼ, ἡγνοήσαμεν, καὶ λαμπρὰν αἰτοῦμεν τὴν δωρεάν· εἰ δὲ ἧττον ἐξελέξαμεν ἢ νομίζομεν, ἀλλ' οὐ χεῖρον ἠβουλήθημεν ἢ ὤφρ ἐφάνημεν. βουλήσει δὲ ἴσως ἅπαντα κρίνεται. ἀπόδοτε τῷ σώφρονι ἀνθρώποις ἢ δυναμένοις ἢ βουλομένοις· καὶ δότε εὐφρᾶναι ὑμᾶς τῷ φιλοτίμου καὶ σοφωτάτῳ ἀρχῷ, αὐτοὶ εὖ ἕκαστον ὑφηγούμενοι τῶν πεπραγμένων.

Ἀζυγίῳ. 12

Δόσμοι ταῖς ὑποσχέσεις, ἢ μᾶλλον ἀπόδος. λέγω δὲ ἀπόδος, οὐ κατὰ τὸν τῶν ὑποσχέσεων νόμον, ἀλλ' ὅπως τὸ θεραπεύειν ἡμᾶς, ὡς ὄφλημα σαυτὸν ἀπαιτῇς. καὶ εἰ ὧν ἤδη τυγχάνω δεηθείς, ὀπίσω λόγος ἀκριβῶς· ὡς ὅπως τὸ θέρος ἐνδίδωσιν ἢ θαρρεῖν δι' ἡμᾶς, ἢ δραμεῖν ὡς ἡμᾶς.

Ῥωμύλῳ. 13

Ἐκμὴ τῆς ἤδη γραφείσης ὀπισολῆς, καὶ πέρωτον εἶναί σε διὰ τῆς εὐθυμίας ἐνόμισα· χρόνου δὲ ἐγγενομένου, καὶ πεμφθέντος οὐδενὸς ὧν εὐσεδόκησα, γράφειν ἄθυμι ἐγκλήματα, πικρὸν ἡγησάμενον. θάρσει καλῶ δὲ ἔπι, σεσῦσον. ἢ πάντως ἐλπὶς τὰ ἐγκλήματα.

Φιλοξένῳ. 14

Τοῦτ' ὀξὺ παλαιὸς ἐρασὴς, τοῦτο ῥήτωρ δεξιός; οὔτε εὐθέτερος οὔτε δεύτερος ὀπιτέλλεις. καίτοι φιλοσοφός τε ἦν καὶ ἱκανὸς λέγειν. μαρτυρῶ γὰρ ἡμῖν τὸ πέμπειν ὀπισολάς. τί οὖν τοῦτο ποιεῖς; ἀπόκριναι γράφων. εἰ μὴ καὶ τοῦτό με

ζημιοῖς. ἀλλ' ἐνταῦθα καὶ σεαυτὸν ἀδικεῖς καὶ ἐμέ· σεαυτὸν μὲν, κυρίαν ἐῶν τῆς σοῦ τιμωρίαν· ἐμὲ δὲ, μηδὲν ὑπὲρ ὧν ἠπασάμην ἀπολογίας ἀξιῶν.

Γλαυκίππῳ. 15

Ἤδη σοι γράψας ὑπεμνημόνευσα, τὸ μὲν ἡδέως δεχθῆναι τὴν ὑποσολὴν ὑπὲρ τοῦ κομίσαντος ἔμαθον, ὑπὲρ σοῦ δὲ οὐδέν. ὥστε ἐξ ὧν μὲν οὐκ ἀπεκρίνω, συμβουλεύεις ἐπὶ μὴ γράφειν. ἐπεὶ ἦ καὶ ὁ νεῶς αἰτήσας, ἀπὸ τῶν ὁμοίων ὢν ὑπὲρ καὶ ὁ θεράπερος ἤτει, πάλιν σοι γράφω. τὴν ἢ ἐγκαλοῦσαν οὐ πέμψω.

Εὐπείῳ. 16

Πρὸς σαυτὸν καὶ τῆς παλαιᾶς φιλίας ἡμῶν, οὐ δοκῶ σοι γράφων, αἰσχυντεῖν, ἀνδρὶ μηδὲ εἰδέναι μου βουλομένῳ τὰ γράμματα; ἀλλ' ἐπὶ μὲν ἐλπίζων μεταθήσειν ὑμᾶς, ἢ ὑπὲρ τοῦ παρόντος ὑποτάλειν· ἀποτυχὼν δὲ νεῶς αὖθις, ἀναιδὴς οὐ κληθήσομαι. τοῦ Μοδέστου ἦ πολλοῦ ἕνα ἔπαινον ὑπὲρ σοῦ κινοῦντος παρὰ πολλοῖς, ἀναγκαῖον ἡγησάμην ἢ δι' αὐτοῦ, καθάπερ διὰ τῆς ὑποσολῆς, ὑμῖν ὁμιλῆσαι.

Λεοντίῳ. 17

Εἶχον μὲν ἕνα λύπην ἄχει τοῦ παρόντος, καὶ δικαίαν, παρὰ σέ. τὴν ἢ αἰτίαν ἀγνοεῖς. εἰ ἢ ἀγνοεῖς, ἀναμνήσω. χωρησάντων ἐμοῖς ἐβοήθεις ἀδικουσιν ἐμέ. παυσάμενος οὖν τοῦ λυπεῖν, ἐπανήγαγες αὖθις εἰς τὸ φιλεῖν. φιλήσω δὲ ἔτι μᾶλλον ἐγὼ, εἰ μελήσει σοι τῶν ἐμῶν, ἀλλὰ μὴ τῶν ἀδικούντων ἐμέ.

Δημοφίλῳ. 18

Ἄρχεμαι μὲν ἀτυχῶς· ἀτυχὴσας ἢ ὢν ἀγαθὸς· ἐπεὶ καὶ φιλεῖ τὸ θεῖον τοὺς ἀγαθούς. τὸ ἢ μεμνῆσθαι τῶν φίλων, εἴπερ ἄλλο τι, καὶ τοῦτο βέβαιον παρά σοι. ἀλλὰ τῶν πραγμάτων ἀφελκόντων εἰς λήθην, ἔδωκα διπλῆν ἀνάμνησιν ὧν παρεκάλεσα, καὶ τὸν ὑποδιδόντα καὶ τὸ διδόμενον.

Ἀεσβιανῷ. 19

Ἡ μὲν ὑποσολὴ γέγραπται παρ' ἐμοῦ· τὸ χαίειν ἢ οὐκ

αὐτῶ μόνος, ἀλλὰ πολλοὶ δέχονται μετ' ἐμοῦ. σκόπησον οὖν ὅπως μήτε τῶ ὀψωνίω τῶν αἰτήσασι καταλίπωμεν, μήτε οἱ δεηθέντες ὑμῶν ἀποτύχωσι δι' ἐμοῦ.

Ἀμμωνίῳ. 20

Ἄνδρα ὀψωνικὴν καὶ πρὸς τῆς ὄψεως αὐτῆς μαρτυρούμενον, τὸν ἀναγώστην Οὐλπιανὸν, δὸς ποιήσατο τὸ μέγεθος τὸ σόν. καὶ δι' ὑμᾶς μὲν, ὡς ἡγουμένους δεξιῶς· δι' ἐμὲ δὲ, ὡς ἱκανὸν εἰς νομίζοντα πρὸς ὧν ὀψωνέω παρ' ὑμῖν. ἢ τῆς ἀνεργασίας αἰτία, φιλοπρόγμονος ἀνὴρ δίκου καὶ ἀσυδόντος ἐπιρεάζειν ἐλευθερώσας.

Ἀνθεμίῳ. 21

Οὐ παύσομαι γράφων, ἕως ἂν ἀπείπωμεν, ἐγὼ μὲν γράφων, αὐτὸς δὲ ἀνοχλούμενος· ὅπως ἂν καὶ μάθω βεβαίως εἰ δεῖ με πρὸς ὧν ἐδεήθην, τῶ ἐλπίδα τρέφειν, ἢ μᾶλλον ἀπολαβεῖν.

Νείλῳ. 22

Σωσὼν μὲν ἐλύπεις, ἀποδημῶν δὲ νῦν ἀδικεῖς. τῶν γὰρ ἐν τῇ σωσιπάτρᾳ τερπνῶν ἀποστερεῖς. ἀλλὰ μὴν καὶ γράφων ἐλύου βαρύτερος. τὸ γὰρ ἡδὺ τῆς ἐλπίδος ἀφῆρπας. ὥστε οὐκ ἂν ἔχοις εἰπεῖν πότε ἡμᾶς οὐκ ἠνίασας.

Κλημοπίῳ. 23

Μεῖζόν με λυπεῖς ὧν ὠφέλησας, οὐ γράφων ἐξ ὅπου ὠφέλησας. ὥστ' εἰ τὸ τυχεῖν ἀγαθῶν, τοῖς ποθουμένοις παρασκευάζει σιγᾶν, κινδυνεύω μᾶλλον ἀγαπᾶν τῶ βραδυτῆτα τῶ τάχους, εἰ μέλλοιεν γνησιώτατοι φοιτηταὶ, διὸπ μὴ ταχὺ χαίζονται, συχνότερον ὀψέλλειν. τοῦτο μὲν οὖν, ὦ μοῖσικώτατε, μὴ παύσῃ ποιῶν· μηδὲ ἀφαιροῦ με τοῖς ἐμοῖς καρποῖς ἀντυχαίνων, ὑμετέραις ὀψωνίαις. ἃ δὲ ὑπὲρ ἐμοῦ πρακτέον, ἀφίημι τῶ θεῶ καὶ ὑμῖν· ὡς ἂν μὴ δοκοίην ἀπειρόκαλος εἶναι, πρὸς τῶν αὐτῶν πλειστάκις ἐλεγχόμενος.

Σεβήρῳ. 24

Οὔτε πατὴρ οἵός τε εἶην μισῆσαι τοὺς ἐξ αὐτοῦ φυέντας οὐ-

δέποτε, καὶ παιδευτὴς ἀμείνων ἔοικεν εἶ) παιδός. ὁ μὲν γὰρ ἐν ἡδονῆς τύχῃ παιδοποιεῖται, ὁ δὲ ἐν προαιρέσει τέχνης, ἀγαθοὺς εἶ) προσκυνάζει. μὴ οὖν, θαρρῶν ὡς ἀγαπῶσε κἀ τὸν ἀμείνω πατέρα τὸν τῆς τέχνης· καὶ μηδέποτε μικροψυχίας ἀλῶς, εἴ πις ἦρα καὶ γέγονεν. ἐπεὶ καὶ πατέρες οἱ τῆς φύσεως, ἐνίοτε προαλυποῦσι τοὺς παῖδας, ἀλλ' οὐκ ἔπ καὶ πολεμοῦσιν ἀμήλοις.

Φιλοξένῳ. 25

Εὖ προάπε φίλων ἄρισε καὶ ῥητόρων. οὕτω γὰρ ἐγὼ διαπελῶ προὶ σοῦ τὰ μὲν ἀλχόμενος, τὰ δ' προσδοκῶν. καὶ σὺ μὲν ὅπ μέμνησαι φίλων, καὶ σπεύδῃς ὑπὲρ ἡμῶν, εἰσὶν οἱ δεῦρο ταῦτα σπουδῇ ἀπαγγέλλοντες· προσπίπτ δ' τύποις τὸ λειπόμενον, ἃ δίδου σπουδῇ ὑμετέραις ἐντυγχάνειν ἐπιστολαῖς.

Εὐσαθίῳ. 26

Ὁ γράφων ἐγὼ τῷ ὑπατολῷ, φίλος ὑμῖν· ὁ κομίζων, φίλος ἐμοί. γένοιτο δίνιν καὶ σοὶ δι' ἐμέ. καὶ γνῶθι καὶ ταῦθα πόσα πός ἐις εἰμὶ, φίλους εἰσάγων τοῖς φίλοις. ἐφ' οἷς δ' ἥκει, καὶ ὅπως αὐτὰ χρὴ διαθεῖναι, τὰς μὲν αἰτίας αὐτὸς διηγήσεται· προὶς δ' τὸ δεύτερον ὑμεῖς ὑφηγήσασθε, καὶ φιλοσοφοῦντες ἄμα, καὶ φρονοῦντες ἱκανῶς.

Ἰωαννῆ. 27

Ἀεὶ μὲν φόβος ἥκειταί μοι τῆς προὶς ὑμᾶς ὑπατολῆς, διεκπαίει δ' αὐτὸν ἡ προθύμης ἡ παρ' ὑμῖν. γράφω πιγαροῦν τῆς εἰς ὑμᾶς ἐλπίδος ἀντεχόμενος, ὡς πορ οἱ κυβερνῆται βλέποντες εἰς τὸν ἀπευθύνοντα τὴν ἀέρων. ἐπεὶ οὖν καὶ ὑμεῖς οὕτω καθαλάμπετε, μείνατε καὶ οὕτως ἀνεργετοῦντες.

Εὐσαθίῳ κοιαίσορι. 28

Καὶ προθυμία καὶ προσδοκία οὐ μικρὰ παρ' ἡμῖν· προῶτον μὲν, ἰδεῖν ὑμᾶς, ἔπειτα δ' καὶ εἰπεῖν εἰς ὑμᾶς. ἀλλὰ τὸ μὲν πρότερον, ἐν ὑμῖν· τὸ δὲ δεύτερον, ἐν τῇ πόλει κἀμοί. μᾶλλον δ' ἐγὼ τοῦτο ἐν ὑμῖν. οὐ γὰρ δὴ μικρὸν κώλυμα εἰς

πανήγυριν, πόλις ἀθυμοῦσα, καὶ παιδευταὶ μετειάζειν οὐκ ἀνεχόμενοι.

Ἐλιοταίῳ. 29

Μία σοὶ ἡμᾶς ὀπτολὴ σῴζει σοῦ· παρ' ἐμοῦ γ', εἴπερ ὑμῖν ἀποδέδωκεν, αὖτη πιπάρτω. σοφίᾳ τοίνυν καλῶς, καὶ μέμνησο τῶν φίλων. κἂν τι σὲ δεξιὸν σφείσῃ, χάριν σοὶ ἐρῶντα μαθεῖν.

Πλακιδιανῷ. 30

Ὁ σέτερον πιστεύσας σοὶ δι' ἐμέ, νῦν ἐμὲ μέμφεται δι' σέ. λῦσον οὖν τὸ χρέος, ἵνα μὴ κἀγώ σοι μέμψωμαι δι' ἐκεῖνον.

Σαλβιανῷ. 31

Τὰς ὀπτολὰς οἱ τὸ ἀρχαῖον θύροντες, δεκῶμοι διὰ σέρπιν θῦρον· σεσαγμάτων γ' ἴσως ἐγγινομένων, παρηκολούθηκέ τι καὶ νεώτερον ὑπὸ αὐτῶν ἐν ταῖς ὀπτολαῖς διαλέγεσθαι. εὐκεῖ εἰ μὴ ἐμπέσοι σεάγματα, καὶ μακρολογεῖν ἀνάγκη· τούτων δ' ἀπόντων, πῶς αἵ τις χαείσαι τό σοι μακροτέρας ὁμιλίας ἐρῶντι; καλῶ γὰρ ὁμιλίαν καὶ τὸ ἐν τοῖς γράμμασιν, οὐδὲν πολὺ σωουσιῶν διαφέρουσαν.

Ἰερείῳ. 32

Εἶτα, ὦ σοφώτατοι τῶν ἐν τῇ γῇ, χρήματα μὲν αἰτήσας ἔλαβον αἰ καὶ ῥᾳδίως· ὀπτολῶν δ' ὑμετέραν ἰδεῖν, πολλάκις μὲν ἠξίωμαι, πολλάκις δ' ἱκετεύσας, ἀνάξιος εἰμὶ τῆς τυχεῖν ὑποπτεύομαι. καίτοι φιλῶ μὲν ὡς ὀλίγοι, ὑμῶν δὲ ὑπὲρ τοὺς ὀλίγους.

Ἡσυχίῳ. 33

Ἐγὼ γὰρ σοῦ κήδομαι καὶ Τιμοθέου· σοῦ μὲν, ὡς μὴ ἀδικοῖτο· Τιμοθέου δ', ὡς μὴ ἀδικοῖτο. εἰ δ' καὶ σοὶ δοκεῖ μετὰ Πλάτωνος τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι μεῖζον εἶναι κακόν, ἔοικα σοὶ μᾶλλον ἢ τούτῳ χαρίζεσθαι, δεόμενος ὑπὲρ αὐτοῦ σεαυτὸν δίκας ὑπὲρ ὧν οὐκ ἐξήμαρτε.

Σεργίῳ. 34

Πολλῆς ἐνέπλησέ με φρονήσεως κομίσας τὰ περὶ ὑμῶν

ἀπαγγελίαν ἐπαχθῆ. καίτοι τὰ βελτίω προσδεχόμενα ἀκούειν. πέμψον οὖν ἅττον ὀπισολιὼ προμνήσομαί σου διαπεθῆναι τοῖς γραφομένοις.

Λεωνίδᾳ. 35

Ἐρώσω. τοῦτο γὰρ ἐγὼ καὶ σωβύχομαί σοι, καὶ ἀκούσαι πολλῶ πρείσσον. κἂν ὅπ τοῦτο ὅτι παρ' ὑμῖν ὀπισείλης, οὐ μικρὰν ἔχειν δωρεὰν ἡγοῦμαι παρὰ τῆς τύχης.

Κλημοπίῳ. 36

Τοῖς σοῖς ἁπάντων ἀεί, καὶ ὅπως ἔχῃς ἐρωτῶ, καὶ εἴπου δέονται, μὴ σιγᾶν ἀπαιτῶ. λεγόντων γὰρ ἀμφοτέρα, σὲ μὲν ὑγιαίνειν, αὐτοὺς δὲ χρῄζειν οὐδενός, χαίρων ἐγὼ δικαίως ἀπέρχομαι.

Σεργίῳ. 37

Σφόδρα μέν σου προεπῃνέσαμεν τὰ γράμματα φιλοσοφοῦντα καὶ παραινοῦντα. γίνωσκε δὲ ὡς οὐδὲν οὔτε τῶν καιρῶν οὔτε τοῦ συμφέροντος ἰσχυρότερον.

Μοδεστίνῳ. 38

Καὶ βεβαίαν τῇ μεγίστῃ σου γράφων, ὅπ φιλῶ καὶ μέμνημαι δείκνυμι· ποιῶν δὲ καὶ αὐτὸς ὥσπερ ἐγὼ, τοῦτο δείξεις ὅπερ ἐγώ.

Αἰγυπτίῳ. 39

Οἶδα καὶ τοὺς ἐπιφανεῖς τῶν ἑταίρων οὕτω ποιοῦσας, καὶ πάντα ὀπιτάττειν βουλομένας τοῖς ἐρασταῖς. ἀλλ' ἐκεῖναι μὲν ἴσασι καὶ θεραπεύειν ὅταν κελεύωσι· σὺ δὲ Λαΐδα γυνὰ Κορινθίαν ἀπομιμῇ, κελεύων μὲν ἑτοίμως, ἐπακούων δὲ οὐδεμόλις.

Ἰωαννῆ. 40

Τὸν οἶνον τὸν Κνίδιον φασὶν οὕτω πολλοὺς ἔχειν ὑμᾶς, ὥστε καὶ ἐπ' ἀγορᾶς αὐτὸν διαπίνεσθαι· ἡμεῖς δὲ οἱ τὸν Σύρον οἰκοῦντες, ἄνας μὲν ἀτυχοῦμεν ἀμπέλους, τὰς δὲ παρ' ὑμῖν μακαρίζομεν, οὕτως ἀδαιμονέστερον, ὅπ μὴ αἰσχροτέρον. πέμψατε οὖν μοι κεράμους ἀρκοῦντας εἰς ἔτος, ἢ πληροῦμεν τὸν ἐμὸν, ἢ χεῖρον αὖπ χείρος ἀπαντήσοντες.

Ἀβεραμίῳ ὑποκόπῳ. 41

Εἴθε πᾶς ἀνὴρ ἀρετὴν τοῖς μέλλουσι γράφειν, καὶ χρόνου μῆκος ὑπιζητεῖν, καὶ δυνάμιν λόγων ἀξίαν εὑρεῖν. ἁμάρτημα γὰρ οὐ φορητόν, τοιούτοις πράγμασιν ἐγχειρεῖν, ἀφ' ὧν καὶ τὰ τῆς πεπαιδείας ἐλέγχεται, καὶ τὰ τῆς ἀρετῆς ὑπὸ τῆς μικρολογίας ὑβρίζεται. τοῦτο τοίνυν ἡμῖν καὶ τὴν ἀταξολιὰν πεποίηκε, καὶ τὸ δοκοῦν ἔγκλημα πρὸς ἐμὲ ἔσχηκε. φίλων γὰρ ἐδόξαμεν ἀμνημονεῖν, πρὸς αὐτοὺς μηδὲ γράμμασι φανέντες. γνοὺς τοίνυν τὴν αἰτίαν, καὶ σκοπῶν τὴν φιλίαν, μὴ παντελῶς τὴν ἐμὴν ἀβέβαιον νομίσῃς διάνοιαν. οὐδὲ γὰρ ἐμὲ αὐτὸς, οἶμαι, τὴν τοιαύτην κακίζειν ἐπέγνω πρόφασιν, ἥτις μικρᾶς γραμμῆς ἀσφαλείας πέφρόντικεν. σύγγνου τοίνυν πρὸς ἡμῶν. τοῦτο γὰρ καμοὶ ποθεινὸν καὶ στέργειν, καὶ σοὶ πρόσφιλὲς ἅμα καὶ νόμιμον.

Διονισίῳ ὑποκόπῳ. 42

Ἔλαβόν σου τὴν ὑποσολιὰν ὑγιαίνων, ἀντεπισέλλω δέ σοι νοσῶν. νοσῶ δὲ ἐκεῖνα τὰ εἰωθότα, ἐν οἷς ἀλγήματά τε οὐ φορητὰ τῶν ποδῶν, καὶ τὰ ἀπὸ τοῦ μὴ εἰδέναι καθεύδειν καὶ, καὶ τὸ ἐρᾶν θανάτου. πρὸς ταῦτα ἀγχῶν δεῖ τῶν ὑμετέρων. ἀγχῶν δὲ λέγω τῶν ἐθάδων, τοῦ δυσωπεῖν τὸν θεόν. ὡς ἐγὼ πολλάκις ἤδη καὶ τὰ κοινὰ καὶ τὰ ἴδια μάτην ἀνεξάμην. τοιοῦτόν ἐστιν ἁμαρτίας βαρεῖαί τε καὶ πολλαί. εἰ δέ τι παρ' ὑμῖν εὑρηται τοιοῦτον ὃ δυνάμενον αὖ εἰ καὶ μὴ τὸ πᾶν ἀνελεῖν τῶν πόνων, ἀλλ' ἀφαιρεῖν μέρος, πέμπε τάχιστα, καὶ βοήθει φίλου σώματι.

Εὐσεβίῳ. 43

Καὶ τῶν ἵππων λέγουσι τοὺς ἀρίστους, ἐπειδὰν εἰς ἀγῶνα ἔλθωσιν, εἶτα τὰ τελευταῖα βελτίους ἢ τὰ πρῶτα τῶν δρόμων· καὶ ὁ καλὸς Ἀκυλῖνος, φιλοπονώτερός ἐστιν ἐν τοῖς πόνοις νυνὶ μᾶλλον ἢ πάλαι· καὶ προθυμεῖται μὲν οὐδὲν εἴδος ἀγνοῆσαι παιδείας, τοὺς δὲ περὶ αὐτὸ παλαιοὺς ἐπαίνους ὑπερβῆξαι μικροῦ. αἱ τοιαῦται δὲ τῶν νέων ὑπερθυμίαι, βίβλων ὑπερβέονται πλήθους· τοῦτο δὲ οὐκ ἂν ἠθύοιτο εἰ μὴ πα-

ρεῖη χρυσός.

Ἰουλιανῷ. 44

Ἐπεδήμησέ πις ἡμῖν ὀκ τῆς ὑμετέρας, ἢ τὸν υἱὸν ἐπαγόμενος ὄπτ λόγοις. ἐγὼ δ' ἰδὼν ἄνδρα λίαν ἀνθρώπῃ καὶ ὡς ἂν τύχῃ ταῖς ἀπάταις ἀγόμενον, ἠρώτων τί τοὔνομα εἴη τῷ ξένῳ. τῶν παρόντων δέ πις εἰδέναι δοκῶν, Μακάριος, ἔφησεν. ἐγὼ δ' ὡς ἤκουσα τὸ Μακάριος, πάνυ γε, ἔφην, εἰκῆ δ' οὐκ ἐπεδήμησεν.

Τῷ αὐτῷ. 45

Ἐπέσταλά σοι γαμοῦντι, καὶ συγχώρην ἔχω μετὰ τὸν γάμον σιγᾶν. οὐδὲ γὰρ ὄφελος, ὡς ἔοικεν, οὐδενὶ παῤῥησίᾳ, δεδεμένῳ γυναικείαις ἀπάταις.

Γούφῳ σχολαστικῷ. 46

Λόγος ὄστις παλαιός, μὴ ῥᾳδίως Κίλικας ἀληθεύειν. ἢ δέδοικα μὴ Κιλικίαν ἰδὼν, ἐκοινώνησας αὐτῇ καὶ τῶν ζήτων. ποῦ γὰρ τὰ γράμματα; ποῦ δ' τὸ σωφρόνως ὄπτ σέλλειν; ἢ οὐχ αὕτη μοῦσα ἡ ὑποθήκη; μεμάθηκε δ' λόγος ὑποθήκης, ἐμὲ μοῦ λυπεῖσθαι ποιῶν, σὲ δ' Κίλικα δεικνύων;

ΤΩΝ ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΘΕΟ-ΛΟΓΟΥ ΕΠΙΣΤΟΛΩΝ ΤΙΝΕΣ.

Νικοβούλῳ. 1

Τὸ λακωνίζειν, οὐ τοῦτό ἐστιν ὅπερ οἴει, ὀλίγας συλλαβὰς γράφειν, ἀλλὰ πρὸ πλείστων ὀλίγας. οὕτως ἐγὼ καὶ βραχυλόγον πάνυ Ὅμηρον λέγω, καὶ πολλῷ τὸν Ἀντίμαχον. πῶς; τοῖς πράγμασι κρίνων τὸ μῆκος, ἀλλ' οὐ τοῖς γράμμασι.

Ἑλλαδίῳ. 2

Ἥδιον τοῖς γράμμασι. πῶς δὲ οὐκ ἔμελλον; πρὸ μνήμιον εἶναί σοι καὶ τῶν τεθνηκότων. πρεσβύτων δὲ καὶ τῶν συμβόλων τῆς ἑορτῆς, πλείων ἡ χάρις. ἀλλὰ πρόσθες οἷς δίδως ἄνωθεν αἰτεῖς. πρόσευχου ὑπὲρ ἡμῶν, εἰ μὴ συμφέρει πάλιν ἡμᾶς ἐπομνησθῆναι καὶ ἐπομνῆσαι τῆς ἑορτῆς· εἰ δὲ μή, πρὸς τὰ ἐκεῖσε μεταστῆναι, καὶ τὴν ἀληθῆ ἑορτὴν ἢ λαβεῖν ἢ ἰδεῖν, ἔνθα ἀφεσμῶν πάντων ἡ κατοικία. τῶν δὲ τοῦ βίου τροφῶν κεκορέσμεθα.

Εὐδοξίῳ ῥήτορι. 3

Ἐρωτᾷς πῶς τὰ ἡμέτερα; καὶ λίαν πικρῶς. Βασίλειον οὐκ ἔχω, Καισάριον οὐκ ἔχω, τὸν πνευματικὸν ἀδελφὸν καὶ τὸν σωματικόν. ὁ πατήρ μου καὶ ἡ μήτηρ μου ἐγκατέλιπόν με, μετὰ τοῦ Δαβὶδ φθέγγομαι. τὰ τοῦ σώματος πονηρῶς ἔχει. τὸ γῆρας ἐπὶ κεφαλῆς· φροντίδων ὑπόπλοκαί, πραγμάτων ὑπόδρομαί· τὰ τῶν φίλων ἄπιστα, τὰ τῆς ἐκκλησίας ἀπόλωλε. ἔρρει τὰ καλά· γυμνὰ τὰ κακά· ὁ πλοῦς ἐν τῇ νυκτί, πυρὸς οὐδαμοῦ· χειμὼν καθεύδει. τί χρὴ παθεῖν; μία μοι τῶν κακῶν ἡ λύσις ὁ θάνατος. καὶ τὰ ἐκεῖθεν μοι φοβερά, τοῖς ἐντεῦθεν τεκμαιρομένῳ.

Τῷ αὐτῷ. 4

Καισάριον οὐκ ἔχω· ἐρῶ γὰρ (καὶ εἰ μὴ φιλόσοφον τὸ πάθος) στέργω τὰ Καισαρίου· καὶ ὅ, τι ποτ' αὖ ἴδω Καισαείου γώεισμα, καὶ θεωρῶ καὶ ἀναπάζομαι· καὶ οἱονεὶ αὐτὸν ὁρᾶν δοκῶ, καὶ σωεῖναι καὶ διαλέγεσθαι. καὶ οἷον ἔπαθον νεῶ ὄντι τοῖς σοῖς γράμμασιν. ὁμοῦ γὰρ ἀνέγνων τὸ θερμὸν τῆς ὑποκλῆς, τὸ γλυκύ μοι θέρμα καὶ ὄνομα τὸ φιλάγελον· καὶ πάντα μοι αὖθις ὑπεισῆλθε τὰ ποτὲ τερπνά· αἱ πόλεις, αἱ διατριβαί, ἡ τράπεζα, ἡ πενία· τὰ τῆς ἐφετινῆς ὁμιλικίης, ὅ φησιν Ὅμηρος· ἡ παίγνια, ἢ ἀσυδάσματα· οἱ τῶν λόγων ἱδρῶτες· οἱ κοινοὶ παιδευταί· τὸ τῶν ἐλπίδων ὕψος. πάντα ὅσα αὖ εἴποι τις τῶν τοιούτων καλῶν· οἷς ἐγὼ χαίρω διαφερόντως, καὶ μεμνημένος. ἵν' οὖν ἔτι μᾶλλον ὁμιλῶμεν τούτοις διὰ σοῦ, κίνει τὼ γραφίδα, καὶ χαρίζου τὸ ὑποστέλλειν. πάντως οὐδὲ τοῦθ' ἡμῖν μικρόν· εἰ μὴ τὸ μέγιστον ἥρπασεν ἡμῶν ὁ φθόνος, τὴν σωουσίαν, λυπηρῶς διαθεὶς τὰ ἡμέτερα.

Τῷ αὐτῷ. 5

Πῶς ἔχει σοι τὰ τοῦ σώματος; ἢ δηλονότι βεβαρὺς ὁ λόγος, ὅπως αὖ ἔχῃ. περὶ δὲ τῆς ψυχῆς οὐκ ἐρήσομαι πῶς. οἶδα γὰρ ὅτι καὶ λίαν καλῶς· ἐπειδὴ γνησίως ἐμφιλοσοφεῖς τοῖς τοῦ σώματος· ὡς τῷ βασάνῳ ἀρετῆς, ἀλλ' οὐχ ὕλης ἀνωμαλίαν τὸ θέρμα δεξάμενος, ἵνα ᾖ σοι τὸ κακοπαθεῖν, τῆς τῶν ἄλλων ὑγιείας μακαριώτερον. διὸ καὶ ταύτῃ ἱκανῶς τῆς φιλοσοφίας ἀπόδειξιν, τὸ τοιαῦτα καὶ θεοῦ τούτων ὑπάσειν ἡμῖν, ἃ καὶ ἄλλοις θαρρῶν γράφειν· ἀλλά τοί γε ἐμοὶ σοὶ κριτῇ κινδυνεύειν οὐκ ἀσφαλές. πειρασόμεθα δ' ὅμως μὴ ἀπλήγειν κελεύοντι.

Γρηγορίῳ Νύσσης. 6

Διαχειμάνεις τῇ θεολόγῳ, καὶ ἀσατεῖν σεαυτῷ φαίνῃ, καθάπερ τῶν ξύλων ἃ καθ' ὑδάτων φέρεται. μηδαμῶς, ὦ θαυμάσιε, μὴ οὕτως ἔχῃ. τῷ μὲν γὰρ ἀκούσιος ἡ φορά, σοὶ δὲ καθ' ἑκὼν ἡ θεολογία· καὶ πάλιν τοὺς πολλοὺς δὴ ποιεῖν,

κἂν εἰ μὴ τόπῳ πεπήγοις. εἰ μὴ γὰρ τὴν ἥλιον αἰτιῶτόπος, ὅτι τοῦτο περιέχει ἀειρων τὰ ἀκτῖνα, καὶ πάντα ζωογονῶν ὅσα ἐπέρχεται· ἢ καὶ τῷ ἀέρων τοὺς ἀπλανεῖς ἐπαγνῶν, καὶ κίζοι τοὺς πλανήτας ὧν ἕνεκα τὸ πλάνον ἐναρμόνιον.

Τῷ αὐτῷ. 7

Μὴ σφόδρα δάκνου τοῖς λυπηροῖς. αἰ γὰρ ἥττον λυπώμεθα, ἥττον δεῖ λυπεσθαι. οὐδὲν δεινὸν εἰ ἀνεθάλφησαν οἱ αἱρετικοὶ, καὶ τῷ ἔαει θαρροῦσι, τῷ φωλεῶν ἐξερπύσαντες, ὡς αὐτοὶς γράφεις. μικρὰ συνοῦσιν, οὗ οἶδα· εἶτα καταδύσονται, καὶ τῇ ἀληθείᾳ ἕνεκα τῷ καιρῷ πολεμούμενοι· καὶ τόσῳ μᾶλλον ὅσῳπερ αὖ τῷ θεῷ τὸ πᾶν ὑπερέπωμεν.

Τῷ αὐτῷ. 8

Περὶ ὧν ἐπίσταλκας, οὕτως ἔχομεν. οὔτε ὑπερορώμενοι δυσχεραίνομεν, καὶ τιμώμενοι χαίρομεν· τὸ μὲν γὰρ ἡμεῖς ἄξιοι. τὸ δὲ, τῆς ἡμετέρας φιλοτιμίας. περιστύχου περὶ ἡμῶν. τῇ βραχυλογίᾳ συγγίνωσκε. πάντως γὰρ, εἰ καὶ μικρὰ ταῦτα, σιωπῆς γε μακρότερα.

Προκοπίῳ. 9

Ἔχω μὲν οὕτως, εἰ δεῖ τἀληθὲς γράφειν, ὥστε πάντα σύλλογον φεύγειν ὑποπτεύων· ὅπου μηδεμιᾶς σωτηρίου τέλος εἶδον χρηστὸν, μηδὲ λύσιν κακῶν μᾶλλον ἐγκλήσεις ἢ περιστάσεις. αἱ γὰρ φιλονεικίαι καὶ φιλαρχίαι (ἀλλ' ὅπως μὴ μεμφομένοις ὑπολάβῃς οὕτω γράφοντα) εἰσὶ λόγου κρείττονες· καὶ ῥᾴδιον αὖ τις ἐγκληθείη κακίαν ἑτέραν δικάζων, ἢ τῶν ἐκείνων λύσειε. διὰ τοῦτο εἰς ἐμαυτὸν συνεστάλην, καὶ μόνην ἀσφάλειαν ψυχῆς, τὴν ἡσυχίαν ἐνόμισα. νεῦε δὲ καὶ τὴν ἀῤῥωστίαν ἔχω περιστατοῦσαν τῆς κρίσεως· ἀεὶ γὰρ δὲ τὰ τελευταῖα πρέσβεων, καὶ εἰς οὐδὲν ἐμαυτῷ χρῆσθαι δυναμένους. διὰ τοῦτο συγγινωσκέτω μοι ἡ σὴ μεγαλόνοια· πειθέσθω δὲ διὰ σοῦ καὶ ὁ ἀοίκητος βασιλεὺς μὴ ῥᾳθυμίαν ἡμῶν καταγινώσκειν, ἀλλὰ συγγινώσκειν τῇ ἀσθενείᾳ· διὸ καὶ οἶδε καὶ συνεχώρησας ἡμῖν δεηθεῖσιν αὐτὸ ἄλλης ἀνεγκλησίας τοῦ ἀναχώρησιν.

Ἀνισίῳ,

Ἀνισίῳ. 10

Πῶς ἔχ τὰ πράγματα ἡμῖν, ἐρωτᾷς; μετά τινος ἰσοτιμίας ἀποκρινούμθα. ἐπρέσβευον Ἀθηναῖοι πρὸς Λακεδαιμονίους, (φησὶν) ἡνίκα ἐτυραννοῦντο. ἡ πρεσβεία δὲ ἦν, γνῶναι τὶ αὐτοῖς ἐκεῖθεν φιλάνθρωπον. ὡς ἦ ἐπαινῆκαν ἐκ τῆς πρεσβείας, ἔπειτα ἤρετό τις, πῶς ἡμῖν οἱ Λακεδαιμόνιοι; οἱ δὲ, ὡς μὴ δούλοις (ἔφασαν) λίαν χρηστῶς· ὡς δὲ ἐλευθέροις, λίαν ὑβριστικῶς. τοῦτο γοῦν καὶ αὐτὸς ἔχω χάριν εἰπεῖν. πρὸ πάντων μὲν γὰρ, τῶν μὴ ἀπηγωνισμένων φιλανθρωπότερον· πρὸς ἦ μελόντων θεῶν, φορτικώτερον. ἥ τε γὰρ νόσος ἔπι πᾶσι λυπεῖ, οἵ τε φίλοι κακοῦντες οὐκ αἰτίασι, καὶ τὰ δυνατὰ βλάπτοντες. ἀλλ' οὖν τὸ θεῖον ὑμνεῖς ἡμῖν εἶ· καὶ δυοῖν θάτερον, ἢ φυξόμθα τὰ δεινὰ πάντως, ἢ καρτερήσομεν. ἔστι δὲ καὶ τοῦτο ἀνθρωπικῶς συμφορᾶς ἐλάττωσις.

Τῷ αὐτῷ. 11

Αἰδάνομαι πρὸς ἐγκλημάτων καὶ σωπῶντος. γάμοις εἰσιῶμεν (ἴσως ἐρεῖς) καὶ ταῦτα, τῆς χρυσῆς Ὀλυμπιάδος τῆς σῆς. καὶ παρὼν ὑπισκόπων ὅμιλος· σὺ δὲ ἀπῆς ἡμῖν ὁ γυμνάδας, ἢ ἀπαξιώσας, ἢ ἀποκνήσας. ὁτέρου, ὦ θαυμάσιε· ἀλλ' οὐκ ἐμοῦ, οἶμαι, πρὸ πάντα τραγικῶς, παιγνιάζειν κωμικῶς. καὶ ἅμα παντελῶς ἄωρον καὶ οὐ γαμικόν, δύο πολλοὶ περιφερόμενοι καὶ γελώμενοι μέσοι πηδώντων· ἵνα τὶ σοὶ καὶ περισπαίζωμεν γαμικῶς. ἐπεὶ τῶ γε βουλεθῆναι, καὶ πάρειμι καὶ συνεορτάζω· καὶ τῶν νέων τὰς δεξιὰς ἀλλήλαις τε ἐμβάλλω, καὶ ἀμφοτέρας τῇ τοῦ θεοῦ. πρέπει γὰρ ὡς πρὸ ἄλλου σοὶ πᾶν ἀγαθὸν, οὕτω σοι καὶ τὸν συζυγίαν ὅπη παντὶ βελτίονι γνῶναι, καὶ κατὰ τὰς κοινὰς ἡμῶν ὀργάς.

Τῷ αὐτῷ. 12

Ἰδοὺ καὶ δεύτερός σοι γαμβρὸς, καὶ τὸ γλυκὺ φορτίον ἀποσκυβάζει· καλῶς ποιῶν. ἀρχὴ δὲ ἡμεῖς, ὡς ἂν αὐτὸς εἴποις· ὡς δὲ ὁ ἀληθὴς λόγος, ἀσθενεῖς, οὐκ ἀρχή. πλὴν καλῶς ἡμῖν ἔχ τὰ ὀκ θεοῦ. πρὸς μὲν γὰρ θορύβων ἄλλοις παρεχωρήσαμεν, τῆς φιλοσοφίας ἦ ἡμεῖς ἀπολαύσομεν. ἐπειδὰν

θεῷ συναλῆς, καὶ ὅλως τῷ ἄνω χθονὶ, μηδενὶ δισμῷ κατεχόμενος. καὶ νῦν ὃ τοῖς γάμοις σωνεισφέρομεν τὰς ἀρχάς, εἰ δεῖ δωροφορεῖν ἡμῖν τὸ κάλλιστον.

Ἀμφιλοχίῳ. 13

Ἄρτους μὲν οὐκ ἠτησάμην σὲ σοὶ· ὅπου μηδὲ ὕδωρ σὲ τὸ σῶν οἰκούντων. λάχανα δὲ εἰ αἰτοίημεν σὲ ἀνδρὸς ὀζιζαλέως, ὧν ἀφθονία ὑμῖν, σὲ ὃ ἡμῖν πολλὴ ἀσωνις, θαύμαστον οὐδέν, οὐδὲ ἔξω τῆς σωνηθείας. καταξίωσον οὖν λάχανα ἡμῖν ἀποστεῖλαι πλεῖστα καὶ κάλλιστα· ἢ ὅσα γε δυνατόν. ἐπεὶ καὶ τὰ μικρὰ, μεγάλα τοῖς πένησιν. ἐπειδὴ καὶ τὴν μέγαν Βασίλειον δεξιούμεθα· οὐ μὴ βουληθῇς, ὡς σὺ ἐπιεικῆς κεκορεσμένου φιλοσοφοῦντος, οὕτω πιεσθῆναι πεινῶντος καὶ δυσχεραίνοντος.

Τῷ αὐτῷ. 14

Ὡς μικρολόγος ἡμῖν ἥκεις τὰ λάχανα παρ' ὑμῶν. καὶ τί γὰρ ἄλλο ἢ χρυσολάχανα; καίπερ ὁ πᾶς πλοῦτος ὑμῖν, κῆποι, καὶ ποταμοὶ, καὶ ἄλση καὶ σὲ δένδρεσι· καὶ λαχανηφόρος ὑμῖν ἡ χώρα, ὡς χρυσοφόρος ἄλλοις· καὶ λειμῶνια φύλλα νέμεσθε. ὁ δὲ σῖτος ἡμῖν, ἡ μωσικὴ μακαρία· καὶ ὁ ἄρτος. ὃς δὴ λέγει ἄρτος ἀγγέλων· οὕτως ἀσπασός τε καὶ ἄπιστος. ἢ τίνων μεταδίδοτε τούτων ἡμῖν ἀφθονώτερον· ἢ ἄλλο μὲν οὐδὲν αἰτησόμεθα, τὸν δὲ σῖτον ἐφέξομεν, καὶ εἰσόμεθα εἰ ὄντως δρόσῳ μόνῃ τρέφονται τέττιγες.

Βοσπορίῳ. 15

Δὶς ἤδη τοῦτο ἐπέρνησμαι παρ' ὑμῶν καὶ ἠπάτημαι. οἶδας ὃ λέγω. καὶ εἰ μὲν δικαίως, ὀφειλέτης Κύριος ὑμῶν ὁμιλῶ δωδίας· εἰ δὲ ἀδίκως, συγγνοίη Κύριος. οὕτω γὰρ ἐμὲ σὲ ὑμῶν λέγειν βέλτιον, ἐπειδὴ φέρειν καὶ ἀδικούμενοι σὲ στεγόμεθα. πλὴν ὥσπερ ὑμεῖς κύριοι τῆς ὑμετέρας γνώμης, οὕτω κἀγὼ τῆς ἐμῆς. οὐκ ἔτι βαρὺς ὑμῖν ἔσομαι Γρηγόριος ὁ βαρύς· ἀναχωρήσω σὲ πρὸς θεὸν τὸν μόνον καθαρόν τε καὶ ἄδολον, εἰς ἐμαυτὸν συναλήσομαι. τοῦτο ἐμαυτῷ ἐνουθέτησα. δὶς γὰρ σὲ πρὸς τὸν αὐ-

τὸν λίθον ωεοσπαίειν, τοῖς αἰσήποις μόνοις ἡ παροιμία δίδωσιν.

Σωφρονίῳ ἐπαρχῳ. 16

Ἔχει τι δεξιὸν ἡμῖν ἡ ἀναχώρησις, τὸ ἄωραγμον καὶ ἡσύχιον· ἀλλ' οὔπω τοσοῦτον, ὅσον σκαιὸν τὸ τῆς ὑμετέρας χωρίζειν φιλίας καὶ συνουσίας, τοσούτου ωεράγματος. ἄλλοι τῆς σῆς τελειότητος ἀπολαύουσιν· ἡμῖν δὲ τοῦτο μέγα κἂν εἰ τοῦτο ἔχοιμι, σκιαὶ ὁμιλίας τινὲς ἐν τοῖς χάμμασιν. ἆρά σε ὀψόμεθα πάλιν; ἆρά σε ωεριπτυξόμεθα, τὸ ἡμέτερον συμπόσιον; καὶ τοῦτο δοθήσεται τῇ τῆς ζωῆς ἡμῶν λειψάνῳ; εἰ μὲν δοθείη, πᾶσα τῷ Θεῷ χάρις· εἰ δὲ μή, τεθνήκαμεν τῷ πλείονι μέρει· σὺ δὲ μέμνησο τοῦ σοῦ Γρηγορίου, καὶ δίηγοῦ τὰ ἡμέτερα.

Εὐσχίῳ σοφιστῇ. 17

Οἷον ἠγνόησα, ὡς σκαιὸν λίαν καὶ ἀπαίδευτον ἄνδρα σοφιστὴν ἐνουθέτησα. ὦ τῆς ἀπονοίας· καὶ οὐδὲ ὑπὸ τῆς παροιμίας τῆς ἰδιωτικῆς ἐπαιδεύθην, φαλακρὸς ὢν κατὰ κεφαλῆς μὴ νυστάζειν αἰπωρέσωπος· μηδὲ σφηκίαν κατ' ἐμαυτοῦ, γλῶσσαν ωρὸς τὸ κακῶς λέγειν ἑτοιμοτέραν. τοῦτο μὲν οὖν οὐ πάνυ τι δυσχεραίνω· (μετὰ γὰρ πολλῶν ωεωστέσθην, ὥς γε πιστεύομαι· εἰ δὲ ζώοις, καὶ ωρὸ πολλῶν) ἐκεῖνο δὲ μᾶλλον, ὅτι μὴ ὑπεστεύσθην φιλικῶς τοῦτο ποιεῖν. πλὴν ὑγιαίνοις καὶ σῶμα καὶ ψυχή· καὶ πλὴν γλῶσσαν κατέχοις, εἰ δυνατόν. ἀλλὰ νῦν τό γε ἡμέτερον σέρξομεν.

Εὐδοξίῳ ῥήτορι. 18

Πρότερον μὲν αὐτὸς ἔχαφόν σε τοῖς ωαροξυντικοῖς εἰς τὸ πάθος· (ωεωεπαιώκεις γὰρ) νῦν δέ μοι δοκεῖς αὐτὸς ἂν ἡμᾶς ωαροξύναι, μικροῦ τὰ ἴσα κακοπαθοῦντας. ἔδει γὰρ ἡμᾶς φίλους ὄντας μηδὲ ταῦτα χωρίζεσθαι. μᾶλλον δ' ἤδη ωαροξύνεις, οἷς καρτερεῖς τὸ καρτερεῖν εἰσηγούμενος.

Τῷ αὐτῷ. 19

Ἀλγῶ τὴ νόσῳ· καὶ χαίρω, οὐχ ὅτι ἀλγῶ, ἀλ' ὅτι τοῦ καρτερεῖν τοῖς ἄλλοις εἰμὶ διδάσκαλος. ἐπειδὴ γὸ τὸ μὴ πάσχειν οὐκ ἔχω, τοῦτο γε τῷ πάσχειν ὠφελιμωτέρῳ, τὸ φέρειν καὶ τὸ ἀνέχεσθαι, ὥσπερ ἐν τοῖς ἀθύμοις, οὕτω δὴ καὶ τοῖς ἀλγεινοῖς. ἐπειδὴ πείθομαι μηδὲν ἄλογον εἶναι τῶν ἀπὸ τῆς λόγῳ τῶν ἡμετέρων, κἂν ἡμῖν οὕτω φαίνηται.

Τῷ Ἀφεικανῷ. 20

Τίσιν ἵπποι μάλιστα χαίρουσιν; δῆλον ὡς ἵπποις. ἀέτοι δ' εἰσὶν; οὐκ ἄλλοις ἢ ἀετοῖς. κολοιὸν δ' ποτὲ κολοιὸν ἰζάνειν, καὶ τῆς παροιμίας ἀκούεις. οὕτω δὴ καὶ Ἀττικὸν Ἀττικοῖς οἷόν χαίρειν, καὶ τὸν καλοκαγαθίας μεταποιούμενον, τῷ τοιούτῳ ἑταῖρῳ καὶ θεράποντι. τοῦτο γὸ ὁ ἄρχων εἶναί μοι φαίνεται, βοηθὸς ἀρετῆς, καὶ ἀπαγορευούσης κακίας· κἂν τῷ αἱμάκτων ἄρχῃ ἄρχων, καθάπερ ἡμεῖς· κἂν τῷ μετὰ ξίφους καὶ τελαμῶνος. αἷμα γὸ οὐδέποτε ἐμέμψατο, ἀρετῇ κεκαπνωμένα γινώσκοντες, οὐ βίᾳ καθειργνύντα, καὶ φόβῳ μᾶλλον ἢ ἔργῳ κολάζοντα τοὺς κακούς. ὅπερ τῆς ἀρίστης ὅρος ἀρχῆς. διὰ δὴ ταῦτα, σφόδρα μοι τὸ τῆς συντυχίας ἐπαυδάζετο, καὶ νῦν ἔτι παυδάζεται. οὐκ ἔχων ὅπως πύθοιμι, διὰ τ' ἀρρωστίαν, ἀναγκαίως ἦλθον ὀπίσω τὰ γράμματα. καὶ τὸ κάλλιστον, ὅτι προσφθέγγομαί σε δι' ἀνδρὸς οἰκείου καὶ φίλου καὶ συγγενοῦς, τὰ ἐμαυτοῦ πάντα ἐμοὶ κοινοβούλου· ὃς καὶ ἀπολογήσεταί σοι περὶ ἡμῶν. ἀξιόπιστος δ' ὁ ἀνὴρ, εἴπερ ἄλλος τις, ὅσα δὴ ἐμὲ γινώσκειν· καὶ δι' ἡμῶν ἑαυτὸν γνωρίσει τῇ σῇ τελειότητι.

Ἀμαζονίῳ. 21

Ἄν τις ἔρηταί σε τὸ κοινῶν φίλων (πολλοὺς δὲ εἶναι πείθομαι τοὺς τοιούτους) πῦ δ' ἐστὶν ὁ Γρηγόριος; τί φάναι δέ τις; θαρρῶν εἰπὲ ὅτι ἐφ' ἡσυχίας φιλοσοφεῖ· τοσαῦτα τῶν ἀδικουμένων φροντίζων, ὅσα τῶν οὐδὲ εἰ γεγόνασι γινωσκομένων. οὕτως ἐστὶν ἀνήλιτος. εἰ δέ σε πάλιν ὁ αὐτὸς ἐπανέρηται, πῶς δὲ τῷ διαζεύξιν φέρει τῶν φίλων; μηκέτι θαρρῶν εἴπῃς ὅτι

φιλοσοφεῖ, ἀλλὰ καὶ λίαν ἀληθῶς ἔχει. ἄλλου μὲν γὰρ ἄλλος ἥττων ὄζιν, ἡμεῖς δὲ φιλίας καὶ φίλων. τούτων εἰς ὄζι καὶ ὁ θαυμάσιος Ἀμαζόνιος. τάχα αὖ ἐνὶ μόνῳ θεραπεύσας ἡμᾶς, καὶ ῥᾴοις ὅπη σοὶ ποιήσας, εἰ μνημονεύοις ἡμῶν, & ὅπη τοῦτο ποιεῖς, πείθοις τοῖς γράμμασιν.

Κελευσίῳ. 22

Εἰσελεύσομαι σὲ καὶ σιωπῶν· ἵνα μάθῃς καὶ σιωπῆς λόγον τῇ γραφίδι λαλούμενον. λαλήσω ἃ ἁρέπει φιλίᾳ καὶ τοιούτῳ καιρῷ. θεωρήσεις ὁ δικαστὴς, οὐ νηστεύων. καὶ πῶς φυλάξεις τοὺς ἀνθρωπίνους νόμους, τοὺς θείους παραφρονῶν; κάθηρον σεαυτὸ τὸ δικαστήριον· ἵνα μὴ δυοῖν ἓν, ἢ γίνῃ κακὸς, ἢ νομίζῃ. τὸ παρθένας θεὰς αἱρεῖσθαι, ἑαυτὸν ὄζι θεὸν εἶναι. κεφάλαιον τοῦ λόγου, ἵλεως κρινόμενος ὁ δικαστὴς, καὶ ἧττον ἁμαρτήσῃ. τούτων οὐδὲν εἶχον σοι παραιτεῖν ἄμεινον.

Τῷ αὐτῷ. 23

Μὴ κρῖνέ με σιγῶντα· οὐδὲ γὰρ ἐγώ σε φθεγγόμενον. ὃ παρεὶς τῶν βραμάτων ὁ Παῦλος ἐνομοθέτησεν. εἰ δὲ κρίνεις, φοβοῦ τὴν γλῶσσαν, μὴ χεῖρ σοῦ κινηθῇ πονηρὸν, εἴ σε λάβοι τοῦ σιωπᾶν ἄξιον.

Ἑλλαδίῳ. 24

Ὁρᾶν τὰ ἐλπιζόμενα πόρρωθεν διδαχθέντες (χαίρομαι γὰρ τῷ σῷ παθοιμίῳ) καὶ τοῖς ἤδη παροῦσιν ἐνθυμούμενα. τὴν γὰρ ἁγίαν τοῦ πάσχα ἡμέραν, εἰς ἣν κατηντήκαμεν, τῶν ἐκεῖθεν ἀγαθῶν οἰδαμῶς ἀγωγίαν, ἑορτὴν οὖσαν διαβατήριον. ὧν καλῶς ἐποίησας καὶ αὐτὸς ἀναμνήσας ἡμᾶς, οἷς ἀπέσαλκας, & οἷς γράφεις. ἐγὼ δὲ πολλὰ μὲν ἤδη πάσχα διῆλθον, καὶ τοῦτο ὠνάμην τῆς μακροτέρας ζωῆς· νῦν δὲ καθαρώτερον ὅπη θυμῶ, τὴν Αἴγυπτον ταύτην ἐξελθὼν τοῦ βίου τὴν βαρεῖαν καὶ σκοτεινὴν, τοῦ πηλοῦ & τῆς πλινθείας ἐλευθερωθεὶς ἢ σωθεὶς ἔμβα, πρὸς τὴν γῆν τῆς ἐπαγγελίας μεταναστῆναι. ταύτην ἡμῖν πρόσευχου, εἴ τι σοι μέλει τοῦ τὰ μέγιστα εὖ ποιεῖν ἡμᾶς. σὲ δὲ πολλάκις

γήροι συνεορτάσαι τῷ κοινῷ τῆς ἐκκλησίας, βιωσίμως ἔχοντα. εἰ δέ μοι δοίητε καὶ τὸ γῆρας ἐν καλῷ καταλῦσαι, τῇ ἐκκλησίᾳ ταύτῃ δόντες ὀπίσω τον· ὃν αὐαδείξῃ τὸ πνεῦμα τὸ ἅγιον, ἔργον ἀγαθὸν ἐργασάμενοι· καὶ ἵν' εἴπω, παντελικῶν ἀλογιῶν ἄξιον.

Νικοβούλῳ. 25

Ἀεὶ βουλόμενος ἐμαυτῷ τὸν μέγαν Βασίλειον (εἰ καὶ ἐκείνῳ τοιοῦτον δίκει) καὶ νῦν βουλομῶ· οὐχ ἥπλον διὰ τιμὴν ἀληθῆ, ἢ τιμὴν φιλίαν. διὰ τοῦτο βουλεῖς τὰς ἐκείνου ἐπιστολάς, τὰς ἐμὰς ὑποτίθημι. καὶ γὰρ ὀπτυμῶ παντάχοθ συνεζεύχθαι ἡμᾶς ἀλλήλοις, καὶ ἅμα τύπον παρέχω τοῖς ἄλλοις τῶ μετείου καὶ τῆς ὑφέσεως.

Τῷ μεγάλῳ Βασιλείῳ. 26

Τοῦ πληρωθῆναί σου τὸ ὀπίταγμα, τὸ μὲν πόθεν ἐφ' ἡμῖν, τὸ δέ γε (κ οἶμαι τὸ πλέον) ὀπὶ τῇ σῇ ἀλαθείᾳ. ἐφ' ἡμῖν μέν, τὸ τῆς ὁρμῆς κ τῆς βουλήσεως· (ὅτε γὰρ ἄλλοτέ ποτε τὴν σὴν συντυχίαν ἐφυγόμεν, ἀλλ' ἀεὶ ταύτην διώκομεν· καὶ νῦν ταύτην πλέον ποθοῦμεν) ὀπὶ δὲ τῇ σῇ ὁσιότητι, τὸ διορθωθῆναι τὰ ἡμέτερα. βουλόμεθα γὰρ τῇ κυρίᾳ τῇ μητρὶ, πολλοῦ ἤδη καμούσῃ χρόνον ἐξ ἀῤῥωστίας· κ εἰ μὴ μέλλοιμεν ἀμφιβόλως αὐτῷ καταλείψειν, ἃ ζημιωθησόμεθα, δῆλα, τὴν παρουσίαν. μόνον ταῖς εὐχαῖς, τὴν μὲν βουλὸς τὴν ὑγείαν, ἡμῖν δὲ βουλὸς τὴν ὁδὸν, ὀπικούρησον.

Τῷ μεγάλῳ Βασιλείῳ. 27

Ἐφυσάμην (ὁμολογῶ) τὴν ὑποψίαν, συνέσεσθαί σοι κ συμφιλοσοφήσειν καθομολογήσας, ὃν τῶν Ἀθηνῶν ἔπι, κ τῆς ἐκεῖσε φιλίας κ συμφυΐας. ἃ γὰρ ἔχω τι πρὸ τούτων εἰπεῖν οἰκειότερον. ἐφυσάμην δ', οὐχ ἑκών, ἀλλὰ νόμου νόμον νικήσαντος, τὸ θεραπεύειν κελεύσαντος τοὺς γυναικείας, τὸν τῆς ἑταιρείας κ συνηθείας. οὐ μὴν παντάπασι φύσομαι, ἀλλὰ τοῦτο αὐτὸ ἐγκαταδέξῃ. τὰ μὲν γὰρ ἡμεῖς σοι συνεσόμεθα, τὰ δὲ αὖτος ἡμῖν θέλησον· ἵν' ᾖ τὰ πάντα κοινὰ, καὶ τὸ τῆς φιλίας ὁμόπνευμον. οὕτω γὰρ ἂν ἄρξει καὶ τὸ πρᾶγμα μὴ λυπεῖν κ τὸ σοὶ τυγχάνειν.

Τῷ μεγάλῳ Βασιλείῳ. 28

Οὐ φέρω τὴν Τιβεριν ἐγὼ ἐγκαλούμενος, ἢ τοὺς ἐνταῦθα πηλοὺς ἢ χιόνας, ὧν λίαν ἄπειρός εἰμι καὶ ἀκροάμενον, καὶ τὰς πλάκας καταφαίνων· ἢ ὑπὲρ σοῦ καὶ μετανοῶ, καὶ τῷ Ἀβαρίδος οἴκῳ συμφερόμενος ἵνα καὶ Καππαδόκης ὦν, φύγοις τὰ Καππαδοκίας. ἢ ἀδικοῦμαι ὅτι ὑμεῖς μὲν ἀγχιᾶτε, ἢ ξενον ἀναπνεῖτε ἢ μεπωρεῖσθε τὸν ἥλιον· ἡμεῖς δὲ λιπῶμεν καὶ κορεννύμεθα, καὶ οὐ ῥιγοῦμεν; ἀλλὰ ταῦτα ὑμῶν ὅσι. πυρφᾶτε δὲ καὶ πλουτεῖτε καὶ ἀγορά-ζετε· τοῦτο οὐκ ἐπαινῶ. ἢ δίνων πᾶσαν τὴν πηλοὺς ὀνειδίζων ἡμῖν· (οὔτε γὰρ σὺ τὴν πόλιν ἐδημιούργησας, οὔτε τὸν χιῶνα ἡμεῖς) ἢ καὶ ἡμεῖς σοι ῥᾳδιοίσομεν ἀντὶ πηλῶν δὶς καὶ πηλοὺς, καὶ ὅσα αἱ πόλεις μοχθηρὰ φέρουσιν.

Τῷ αὐτῷ. 29

Ἐπαινῶ σου τῆς ὀψιολῆς τὸ ῥᾳθύμιον. τί δὲ τοσῶν ὄκ ἐπαινεῖν; καὶ σὺ ἐάλως, ὡς ἔοικε καὶ ἡμεῖς γεγράφοτες, ἐπειδή γε εἰς τὸν πρεσβυτέρου βαθμὸν ἐβιάσθημεν. καί τις γε οὐ τοῦτο ἡμῖν ἐπαυδάζετο. ἀλλήλοις γὰρ ἐσμέν, εἴπερ ἄλλοι ζηνες, ἀξιόπιστοι μάρτυρες τὴν τῶν πέζων στέργειν φιλοσοφίαν, καὶ κάτω μένουσαν. ἀλλὰ τοῦτο μὲν μὴ γένοιτο μοι, ἴσως ἄμεινον ἴσως· (ἢ οὐκ οἶδ' ὅ, τι καὶ φῶ, ἕως γὰρ τὴν οἰκονομίαν τοῦ πνεύματος) ἐπεὶ δὲ ἐγένετο, φέρειν ἀνάγκη, ὡς γοῦν ἐμοὶ καταφαίνεται, καὶ μάλιστα διὰ τὸν καιρὸν, πολλὰς ἡμῖν αἱρετικῶν ἐπεισάγοντα γλώσσας· καὶ μὴ καταγμώειν μήτε τὰς τῶν πεπιστευκότων ἐλπίδας, μήτε τὸν ἡμέτερον βίον.

Τῷ αὐτῷ. 30

Καιρὸς βουλίας καὶ καρτερίας, καὶ τοῦ μηδένα φανῆναι ἡμῶν ἀνδρικώτερον μηδὲ τοῖς πηλοῖς ἱδρῶτας καὶ πόνους ἐν ὀλίγῳ καταλυθῆναι. γράφω διὰ τί ταῦτα; καὶ πόθεν; ὁ θεοφιλέστατος ἐπίσκοπος ἡμῶν Εὐσέβιος (οὕτω γὰρ δεῖ καὶ τὸν λοιπὸν καὶ φρονεῖν καὶ γράφειν) λίαν περὶ ἡμᾶς ἔχει συμπαθῶς τε καὶ φιλικῶς· καὶ, ὡς καὶ ἀνὴρ πνεῖ, παρρησίᾳ μαλάττει. καὶ οἶμαι καὶ γράμμα ἤξειν πρός σε παρακλητικώτατα τε

καὶ κλήσεως, ὡς ἐμοί τε παρεδήλωσε, καὶ πολλοὶ πείθουσιν ἡμᾶς τῶν τὰ ἐκείνου σαφῶς εἰδότων. οὐ φθονήσω, ἢ παρόντες ἢ ὑπεξείλατε· μᾶλλον δ', ὑπεξείλατε, εἶτα παρόντες. ἵνα μὴ αἰσχυνθῶμεν ὕστερον ἡττηθέντες, ἐξὸν νικῆσαι τὸ καλῶς ἡττηθῆναι καὶ φιλοσόφως· ὃ δὴ τῶν πολλῶν ἀπαυτόμεθα. ἴθι οὖν, ἐμοὶ πιθοῦ, καὶ διὰ τοῦτο, καὶ διὰ τὸν καιρόν· ἐπειδὴ σύστασις αἱρετικῶν κατατρέχει τὴν ἐκκλησίαν, τῶν μὲν, ἤδη παρόντων καὶ τὰ ἑαυτόντων, τῶν δ', ὡς λόγος, παρεσομένων. καὶ δέος φθάσωσι λῦσαι τὸν λόγον τῆς ἀληθείας, εἰ μὴ τάχιστα κινηθείη τὸ πνεῦμα Βεσελεήλ, τὸ σοφοῦ τῶν τοιούτων ἀρχιτέκτονος λόγου τε καὶ δόγματος. εἰ δ' δοκεῖς αὐτὸν ἐμὲ παρεῖναι καὶ διάξοντα ταῦτα καὶ συνοδεύσοντα, οὐδὲ τοῦτο φθονήσομεν.

Τῷ μεγάλῳ Βασιλείῳ. 34

Εἴ καλεῖς ἡμᾶς ἀρχαίαν καὶ ῥαθυμίαν, ὅπως μὴ τὰ σὰ Σάσιμα καταιλήφαμεν· μηδὲ ὀπτικοπικῶς κινούμεθα, μηδὲ ὡς περ κυσὶ βρῶμα ῥιφὲν ἐν μέσῳ, κατ' ἀλλήλων ἡμῶν ὁπλιζομένων. ἐμοὶ δὲ μεγίστη φυγάδευσις ὄκνος ἐστὶν ἡ ἀναβολή. καὶ ἵνα εἰδῇς ὃ τῶν ἐμῶν κακῶν, τοσοῦτον τῇ ἀναβολομανίᾳ φιλοῦμαι, ὥστε οἶδα καὶ νόμον εἰσηγησάμενος πᾶσι τῆς περὶ τοῦτο μεγαλοψυχίας· καὶ ὡς εἰ πάντες ἡμᾶς ἐμιμοῦντο, οὐδὲ αἱ λιῶν πράγματα ταῖς ἐκκλησίαις, οὐδ' ἂν ἡ πίστις περιεσύρετο, τῷ ἰδίων ἑκάστῳ φιλονεικιῶν ὅλον τυγχάνουσα.

Τῷ αὐτῷ. 35

Ἐπειδή σε πεθέντα ὑπὸ τὸν ὑψηλὸν θρόνον ἔγνων, καὶ πὶ πνεῦμα ἐνίκησε, τὸν λύχνον ὑπὸ τῆς λυχνίας δημοσιεῦσαι, οὐδὲ τὸ πρὶν ἀμυδρῶς λάμποντα. ἤθελε μὲν, ὁμολογῶ· (τί δ' οὐκ ἔμελλον, τὸ κενὸν τῆς ἐκκλησίας ὁρῶν κακῶς ἔχον, καὶ τοιαύτης χρῄζον καταφυγίας;) προσέδραμον δ' οὐκ αὐθύς· οὐδὲ προσδραμοῦμαι. μηδέ γε τοῦτο αὐτὸς ἀπαιτήσῃς. πρόσχον μὲν, ἵνα σοὶ τὸ σεμνὸν φυλάξω, καὶ μὴ σεσάγηνα δόξῃς τοῖς ἀπουδάσαις, ὑπὸ λίνος ἀπειροκαλίας ἢ θερμότητος, ὡς αὐ φαίεν οἱ ἀνδραβάλλοντες· δεύτερον δὲ, ἵνα

ἐμαυτῷ πραγματεύσωμαι τὸ σαθερόν τε καὶ ἀνεπίφθονον. πότε οὖν ἥξεις; (τυχὸν ἐρεῖς) καὶ μέχρι ἵνος ἀναδύσῃ; ἕως αἱ ὅ, τε θεὸς κελεύσῃ καὶ παρέλθωσιν αἱ σκιαὶ τῶν ὑπτιθεμένων καὶ βασκαινόντων. οὐ γὰρ ὅπι πλεῖον αἱθέξουσιν οἱ λεπτοὶ, σαφῶς οἶδα, τῷ Δαβὶδ τῷ Ἱερουσαλὴμ ἀποκλείοντες.

Τῷ αὐτῷ. 36

Πιθανόμαί σε παρακαθεδεῖσθαι τῇ τῆς νέας καινοτομίας, καὶ πράγματα ἔχειν ἀπό τινος σοφιστικῆς τῶν κρατούντων καὶ συνήθους πλεονεξίας. καὶ θαυμαστὸν οὐδέν. οὐδὲ γὰρ ἠγόουν τὸν φθόνον, καὶ ὅτι πολλοὶ τῶν περὶ σὲ τὰ ἑαυτῶν δι' σοῦ θεραπεύοντες, καὶ τὸν ἀσινῆ σε τῆς μικροψυχίας ἀπάλλοντες εἰσίν. ἐκεῖνο μὴν οὖν οὐ δέδοικα, μή τι πάθῃς ἀφιλόσοφον τοῖς λυπηροῖς, καὶ σαυτὸν καὶ ἡμῶν ἀνάξιον. ἀλλ' ἡγοῦμαι νῦν δὴ καὶ μάλιστα γνωσθῆναι τὸν ἐμὸν Βασίλειον, καὶ ἵν' ἐν παντὶ τῷ χρόνῳ συνελέξω φιλοσοφίαν, δι' σοῦ δειχθῆσεσθαι, καὶ ὑπερφήσειν τὰς ἐπιρείας, ὥσπερ ὑψηλῷ κύματι, καὶ μένειν ἄσειστον ἄλλων ταραττομένων. εἰ δὲ δοκεῖ, καὶ αὐτὸς παρέσομαι, τυχὸν μέν, καὶ γνώμης τινὸς κοινωνήσων· (ἔνθα ὕδατος δεῖται θάλασσα, καὶ σὺ τοῦ συμβουλεύοντος) πάντως δὲ, ὠφεληθησόμενος, καὶ φιλοσοφήσων τὸ σωφρονεῖν δεδαι.

ΤΩΝ ΒΑΣΙΛΕΙΟΥ ΕΠΙΣΤΟΛΩΝ ΤΙΝΕΣ.

Ὀλυμπίῳ. 1

Ἔγραφες ἡμῖν πρότερον μὲν ὀλίγα, νῦν δὲ οὐδὲ ὀλίγα· καὶ ἔοικεν ἡ βραχυλογία προϊοῦσα τῷ χρόνῳ, παντελὴς γίνεσθαι ἀφωνία. ἐπάνελθε οὖν ὅπου τὸ ἔθος. ὡς οὐκ ἔστι μεμψόμεθα λακωνίζοντι πρὸς ἡμᾶς διὰ γραμμάτων, ἀλλὰ καὶ τὰ μικρὰ γράμματα, σύμβολα ὄντα τῆς μεγάλης σου διαθέσεως, πολλοῦ ἄξια ποιησόμεθα. μόνον ὅπως ἔσται ἡμῖν.

Τῷ αὐτῷ. 2

Ὥσπερ τῶν ἄλλων ὡρίμων ἕκαστον ἐν τῇ οἰκείᾳ ὥρᾳ ἁπανταᾷ, οὕτω καὶ μῆλον ἐν μὲν τῷ αἰθρίῳ, ἐν θέρει δὲ οἱ τάχιες, τῷ δὲ μετοπώρῳ τὸ μῆλον· οὕτω χρόνος καρπὸς εἰσὶν οἱ λόγοι.

Ἀνεπίγραφος. 3

Ὅπου σε φιλῶ, οἷς ὅπως ἐθέλω μάθε· ὅπου με μισεῖς, οἷς σιωπᾷς ἔγνωκα. γράφε ἢ κἂν τὸ λοιπόν, κἀγὼ λάμψω καὶ μέλαν ἐν βραχεῖ χάρτῃ φιλουμένους φιλῶν.

Ἄλλη ἀνεπίγραφος. 4

Ἓν γνώρισμα τοῦ ζῆν ὁ λόγος. πῶς δὲ σὺ ὑπὲρ γῆς εἶ νομισθείης, μηδέποτε φθεγξάμενος; ἀλλ' ἄπωσαι τὴν σιωπήν σου, γράψας ἡμῖν, καὶ ἐμφάνισον σαυτὸν ὅπως ζῇς.

Νοταρίῳ. 5

Οἱ λόγοι τὴν φύσιν ὕπτιον ἔχουσι. διὰ τοῦτο σημείων χρῄζουσιν, ἵνα ἐπαμφῶν αὐτῶν, λάβῃ τὸ τάχος ὁ γράφων. σὺ οὖν ὦ παῖ τὰ γραφόμενα τέλεια ποίει, καὶ τοῖς τύποις ἀκολούθως κατάστιζε· ἐν γὰρ μικρᾷ πλατείᾳ πολλὴ ἡμῶν ἐστὶν ὁ λόγος· τῇ δὲ ὀρθοτομίᾳ τοῦ γράφοντος κατορθοῦται τὸ λεγόμενον.

Γρηγορίῳ τῷ θεολόγῳ. 6

Γράμμα ἦλθέ μοι παρὰ σοῦ, ἀκριβῶς σὸν, οὐ τοσοῦτον τῷ χαρακτῆρι τῆς χειρὸς, ὅσον τῷ τῆς ὑποτολῆς ἰδιώματι. ὀλίγα γὰρ λίαν τὰ ῥήματα πολλὴν διάνοιαν παρεισῶντα. πρὸς ἃ ἡδέως μὲν οὐκ ἀπεκρινάμεθα· (διόπερ αὐτοὶ μὲν ἀπεδημοῦμεν, ὁ δὲ γραμματοφόρος ἐνὶ τῶν ὑπηνδείων ἡμῶν ὑπηρετῶν τῷ ὑποτολῷ, ἀπὼν ὥχετο) ἀλλὰ νῦν διὰ Πέτρου προσφθεγγόμεθά σε, ὁμοῦ μὲν ἀποδυνώτες τῆς προσηγορείας τὸ χρέος, ὁμοῦ δὲ ἀφορμὴν δευτέρων γραμμάτων παρέχοντες. πάντως δὲ οὐδεὶς πόνος λακωνικῆς ὑποτολῆς, οἵπερ εἰσὶν αἱ παρὰ σοῦ ἑκάστοτε πρὸς ἡμᾶς ἀφικνούμεναι.

Ὀλυμπίῳ. 7

Καὶ τοῖς γράμμασιν ἀπυχὼν τῆς γλυκύτητός σου, ἡδίων ἐμαυτῷ καὶ θυμότερος ἐγενόμην· καὶ τοῖς παθνοτάποις ἐφέσιν εἰς ὁμιλίαν ἐλθὼν, αὐτόν σε ἔδοξα καθορᾶν· οἱ πάνυ μου τὴν ψυχὴν κεκακωμένην παραλαβόντες, οὕτω διέθηκαν, ὥστε ὑπλαθέσθαι με τὸ παρ' ὑμῖν κωνεῖον· οἱ οἱ ὀνειροκάπηλοι καὶ ὀνειροκάπηλοι, εἰς τὴν τῶν ἐκμισθωσαμένων αὐτοὺς χάριν, καθ' ἡμῶν προφέρουσιν. ὑποτολαὶ γὰρ, ταῖς μὲν ἔπεμψα, ταῖς δὲ καὶ εἰς ὕστερον δώσομεν, ἐὰν ἐθέλῃς. μόνον εἴη γε ὄφελος παρ' αὐτῶν τοῖς λαμβάνουσι.

ΤΟΥ ΑΥΤΟΥ ΒΑΣΙΛΕΙΟΥ

ΤΟΥ ΑΥΤΟΥ ΒΑΣΙΛΕΙΟΥ ΚΑΙ ΛΙΒΑΝΙΟΥ ΕΠΙΣΤΟΛΑΙ ΑΜΟΙΒΑΙΑΙ.

Βασίλειος Λιβανίῳ. 1

Λοιμώομαι καθ' ἕνα σοι προσάγων τὰς Καππαδόκας, ἀλλὰ μὴ πάντας, τὰς ἐν ἡλικίᾳ πείθων λόγων καὶ παιδεύσεως ἀπαιτεῖσθαι, καὶ σὲ κεχρῆσθαι τῇ ἀσκήσει διδασκάλῳ. ἀλλ' ἐπειδὴ πάντων εἰσάπαξ ὀπτυχεῖν τὰ πρόσωπα σφίσιν αὐτῆς αἱρουμένων οὐχ οἷόντε, τὰς ἑκάστοτε πειθομένους ὧδε πέμπειν σοι· τοιγοῦν αὐτῆς χαιρόμενος, ὅσον καὶ οἱ τῆς δίψῃσι καθηγούμενοι τὰς πηγάς. ὁ δὲ νῦν προσιὼν, μικρὸν ὕστερον ἑαυτὸν ἕνεκεν σπουδασθήσεται, ἐπειδάν σοι συγγένηται. νῦν δὲ ἀπὸ παιδὸς ὅτι γνώριμος, μέγα ὅπλον ὀρθότητα βίου καὶ δυνάμει πολιτικὴ παρ' ἡμῖν λαβόντος ὄνομα· ὃς καὶ ἐμοὶ εἰς τὸν ἄκραν φιλίαν ὥρμησε. ἧς ἀμείβομαι αὐτὸν, τῷ παιδὶ τούτῳ τὸν χάριν δίδωμι, σοὶ ποιῶν αὐτὸν γνώριμον· πρᾶγμα μεγίστης ἀρχῆς ἄξιον τὰς ἀρετὰς ἀνδρὸς κρίνειν ὀπταμένοις.

Λιβάνιος Βασιλείῳ.

Διὰ χρόνου πρὸς ἡμᾶς Καππαδόκης ἥκει νέος. ἓν τοῦτο κέρδος, ὅτι Καππαδόκης. ἀλλὰ καὶ τὸ πρόσωπον γλυκύς ὅτος ὁ Καππαδόκης· δεύτερον τοῦτο κέρδος. ἀλλὰ καὶ χάρμα τὸ θαυμαστοῦ Βασιλείου κομίζων ἡμῖν· πυκνὰ μὲν ὅτου τὰς εἴποι μεῖζον. ἐγὼ γὰρ, ὃν ὀπλεληθάς σου νομίζεις, καὶ πάλαι νέον ὄντα ἡδυμάλων, σωφροσύνῃ τε πρὸς τοὺς γέροντας ἀμιλλώμενον ὁρῶν· καὶ ταῦτα, ἐν ἐκείνῃ τῇ πόλει τῇ ταῖς ἡδοναῖς βρυούσῃ, καὶ λόγων ἤδη μοῖραν κεκτημένον μεγάλων. ἐπειδὴ δὲ ὥρμησε καὶ τὰς Ἀθήνας ἰδεῖν, καὶ τὸν Κέλσον ἔπεμψε, σωφρόνως τῷ Κέλσῳ τὸ σῆς ἐξηρτημένῳ

ψυχῆς. ἐπανήκοντες δὲ σοῦ καὶ ἔχοντες τὴν παιδία, ἔλεγον πρὸς ἑαυτούς, Τί νεῦν ἡμῖν ὁ Βασίλειος δρᾷ; ἢ πρὸς ἵνα βίον ὥρμησεν; ἆρ' ἐν δικαστηρίοις τρέπεται, ἢ τοῖς παλαιοῖς ῥήτορας ζηλῶν; ἢ ῥήτορας δαιμόνων πατέρων ἀπορράζεται παῖδας; ὡς δὲ ἥκον τινες ἀπαγγέλλοντες ἀμείνω σε πολλῷ πυνθανοίμην τὴν ὁδῶν πορεύεσθαι, καὶ σκοπεῖν ὅπως αὖ ἡμῖν θεὸν μᾶλλον φίλος, ἢ συλλέξεις χρῆσιν, δαιμόνισα σέ τε καὶ Καππαδόκας· σὲ μὲν, τοιοῦτον βουλόμενον εἶναι· ἐκείνους δ', τοιούτων δυναμένους δεικνύναι πολίτην. Φιρμῖνος δὲ ἐκεῖνος ὡς παντάχου διεπέλεσε κρατῶν, οὗ οἶδα· (ἐντεῦθεν γὰρ αὐτῷ τὴν λόγων ἡ δύναμις) πολλῶν δ' ἐπαίνων ἀπολαύσας, οὐκ οἶδα ὅπῃ πώποτε τηλικούτων, ἡλίκων νεῦν ἐν τοῖς σοῖς ἀκήκοα γράμμασι. τὸ γὰρ μηδένα αὖ τὴν ἐκείνου δόξαν ὑπερβαλέσθαι, σὲ τὸν λέγοντα εἶναι, πόσον τι χρὴ νομίζειν ἐκείνῳ; δοκεῖς δέ μοι καὶ τύπις ἀπεσκληκέναι πρὶν ἢ τὸν Φιρμῖνον ἰδεῖν. ἦ γὰρ αὖ αὐτὸν οὐκ εἶχε τὰ γράμματα. καὶ νεῦν τί ποιεῖ ἢ τί μέλει Φιρμῖνος; ἔτ' ὄζειν ἐν τοῖς τῶν γάμων πότοις; ἢ ἐκεῖνα μὲν πάλαι πέπαυται; βαρεῖα δ' ἡ βουλή, καὶ πᾶσα ἀνάγκη μένειν· ἢ τινές εἰσιν ἐλπίδες ὡς αὖθις ἔσαι λόγων κοινωνός; ἀποκρινάσθω τι ἡμῖν. καὶ εἰπὲ μὲν τι χρηστόν· εἰ δ' οὖν τι καὶ λυπήσει, τό γε βλέπειν ἡμᾶς πρὸς τὰς πύλας ἀπαλλάξει. εἰ δ' Ἀθηνήσι νεῦν ὁ Φιρμῖνος ἐτύγχανεν ὤν, τί ἂν ἔδρων οἱ βουλεύοντες παρ' ἡμῖν, ἢ τὴν Σαλαμῖνα ἔπεμπον αὖ ἐπ' αὐτόν; ὁρᾷς ὅτι καὶ μόνον ὑπὸ τῶν σῶν ὑβρίζομαι πολιτῶν. οὐ μὴν ἔγωγε τὸ φιλεῖν καὶ ἐπαινεῖν Καππαδόκας παύσομαι. ἀλλ' εὔχομαι μὲν αὐτοὺς ἀμείνους γενέσθαι πρὸς ἐμέ, μόνον δ' ὅτι τῶν αὐτῶν οἴσω. Φιρμῖνος δ' ἡμῖν συνεγένετο πέραν, ἡμέραν δ' ἤργησεν οὐδεμίαν. τὸ δ' συνειλεγμένον ὅσον ὄζειν, αὐτὸς εἴσῃ· καὶ ἴσως οὐ μέμψῃ. πρὸς δὲ τὸ πάλιν αὐτὸν δεῦρο δυνηθῆναι ἐλθεῖν, ἵνα χρὴ πρὸς αὖθις καλεῖν σύμμαχον; εἴωθε γὰρ οὗ φρονοῦσιν οἱ βουλεύοντες (φρένοι δ' αὖ ἀνθρώποις πεπαιδευμένοις) ἡμῖ-

σουσι τοῖς δευτέροις, ἐπειδὴ τοῖς πρώτοις ἐλύπησαν.

Βασίλειος Λιβανίῳ. 2

Ἰδού σοι καὶ ἕτερος ἥκει Καππαδόκης, ὑὸς ἐμὸς καὶ αὐτός. πάντας γὰρ ἡμῖν εἰς ποιεῖ τὸ χρῆμα τοῦτο ἐν ᾧ νῦν ἐσμέν. ὥστε κατά γε τοῦτο ἀδελφὸς αὖ εἴη τοῦ φιλαβόντος, καὶ τῆς αὐτῆς σπουδῆς ἄξιος ἐμοί τε τῷ πατρὶ καὶ σοὶ τῷ διδασκάλῳ· εἴπερ τι πλέον ἔχειν δυνατὸν τοῦ παρ' ἡμῶν ἐρχομένους. τοῦτο δὲ λέγω, οὐχ ὡς οὐκ αὖ τῆς σῆς λογιότητος πλέον τι τοῖς παλαιοῖς τῶν ἑταίρων χαριζομένης, ἀλλ' ὡς ἀφθόνου πᾶσι τῆς ὠφελείας σου προκειμένης. ἥκουσι δ' αὖ εἴη τῷ νεανίσκῳ μετὰ τῆς ἐκ τοῦ χρόνου πείρας, ἐν τοῖς οἰκείοις πεπαχθαι. ὃν ἀποπέμψαιο ἡμῖν ἄξιον τῶν τε ἡμετέρων λόγων, καὶ τῆς σαυτοῦ δόξης, ἵν' ἔχῃς ἐν τοῖς λόγοις. ἐπάγεται δὴ καὶ ἡλικιώτην τινὰ ἴσην ἔχοντα πρὸς τοὺς λόγους σπουδήν, ἀπαιδίδλω καὶ αὐτὸν, καὶ ἡμῖν οἰκεῖον· ὃν οὐδὲν ἔλαττον ἕξειν πιστεύομεν, κἂν πλεῖον τῶν ἄλλων τοῖς χρήμασιν ἀπολείποιτο.

Λιβάνιος Βασιλείῳ.

Οἶδα ὅτι τοῦτο πολλάκις γράφῃς, τὸ, Ἰδού σοι καὶ ἕτερος ἥκει Καππαδόκης. πολλοὺς γὰρ οἶμαι πέμψῃς· ἀεὶ μὲν καὶ παντα χοῦ τοῖς κατ' ἐμοῦ χρώμενος ἐγκωμίοις, οὕτω δὲ ἀυτῷ καὶ πατέρας κινῶν καὶ παῖδας. ἀλλ' ὅ γε ἐλθὼν τῷ ὀψωνίῳ σου τῷ καλλιῳ, οὐ καλὸν σωπᾷ. παρεκάθητό μοι τῶν ἐν ἀρχῇ γεγυμνασμένων φίλων ἄλλοι τε οὐκ ὀλίγοι, καὶ ὁ πάντα ἄριστος Ἀλύπιος Ἱεροκλέους ἀνεψιὸς ἐκείνου. ὡς οὖν ἔδοσαν οἱ φέροντες τῷ ὀψωνίῳ σιγῇ, δι' ἁπάσης ἐλθὼν, νενικήμεθα, ἔφην μειδιῶν τε ἅμα καὶ χαίρων. Καὶ πῶς σὺ νενίκησαι νίκην; (ἤροντο) κἀγὼ πῶς οὐκ ἀλγεῖς νενικημένος; Ἐν καλλει μὲν (ἔφην) ὀψωνίων νένίκημαι, Βασίλειος δὲ κεκράτηκε. φίλος δὲ ὁ ἀνήρ· κἀγὼ διὰ τοῦτο ἀφραίνομαι. Ταῦτα εἰπόντος ἐμοῦ, παρ' αὐτῶν μιᾶ-

δεῖν ἠβουλήθησαν τ̃ γραμμάτων τὴν νίκην. καὶ αἰσχύνωσκέμοὶ ὁ Λύσιος, ἤκουον ὃ οἱ παρόντες. ψῆφος ὃ ἡνέχθη, μηδέν με ἐφυβρίζειν. καὶ τὰ γράμματα ἔχων ὁ αἰσχρὸς ἐξήει, δείξων οἶμαι καὶ ἄλλοις καὶ πόλις ἀπέδωκε. γράφε πίνων ὡς πλείστα, καὶ νίκα. τοιοῦτον γὰρ ὄντα, ἐμὲ νικᾶν· καλῶς ὃ κἀκεῖνο εἰκάζεις, ὡς οὐ χρήμασι μετρεῖται τὰ παρ' ἡμῶν, μὴ ἀρκεῖ τῷ μὴ δωροδοκῶν δοῦναι, τὸ βουληθῆναι λαβεῖν. κἂν γὰρ αἰδῶ μή τινα ἐν πενίᾳ λόγων ἐρῶντα, ὡς τῶν πλουσίων ἔσῃ. καίτοι οὐ τοιούτων πεπειράμεθα διδασκάλων· ἀλλ' οὐδὲν κωλύει ταύτῃ γε εἶναι βελτίονας. μηδεὶς οἰωνὸν πένης δεῦρο ὀρνείτω βαδίζειν, εἰ ἓν ἐκεῖνο κέκτηται μόνον, τὸ ὀπίσω δύνειν.

Βασίλειος Λιβανίῳ. 3

Τί οὐκ ἂν εἴποι σοφιστὴς ἀνήρ; καὶ σοφιστὴς τοιοῦτος, ᾧ γε ἴδιον ἐστὶ τῆς τέχνης ὠμολόγηται, καὶ τὰ μεγάλα μικρὰ ποιεῖν, ὁπότε βούλεται, καὶ τοῖς μικροῖς περιθεῖναι μέγεθος; ὁποῖον δή τι καὶ περὶ ἡμᾶς ἐπιδείξω. τὴν γὰρ ὀπισθολιθον ἐκείνην τὴν ῥυπῶσαν, ὡς ἂν ὑμεῖς οἱ περὶ τοὺς λόγους τρυφῶντες εἴποιτε, οὐδὲν οὖσαν τῆς ἐν ταῖς χροὶ σοῦ ταύτης αἰσχροτέραν, τοσοῦτον ἦρας τῷ λόγῳ, ὡς ἡδὺ θῆναι δόξαν αὐτῆς; καὶ ἡμῖν τὸ περιττὸν τὸ γράφειν περιχορεῖν· ὅμοιον ποιῶν ταῖς τῶν πατέρων παιδιαῖς, ὅταν ταῖς παρ' ἑαυτῶν νίκαις περιχορεύσι τοῖς παισὶν ἐναβρυνόμενοι· οὔτε αὐτοὶ πω ζημιοῦντες, καὶ τῶν παίδων τρέφοντες τὸ φιλότιμον. τοιοῦτο δὲ καὶ ἀμύθητον ὅσον ἡδονῆς εἶχεν ὁ λόγος ἐν τῇ περὶ ἡμᾶς παιδιᾷ· οἷον Γολυδάμαντός τινος ἢ Μίλωνος παγκρατίου ἢ πάλης ἀγῶνα παραπομπὴν τὴν περὶ ἐμὲ αὐτόν. πολλὰ γὰρ περιεκύλισμος, οὐδὲν δεῦρο ἀσθενείας ὑπόδειγμα. ὥστε τοὺς τὰς ὑποβολὰς τῶν λόγων διαζητοῦντας ἐνταῦθά σε μᾶλλον ἄγασθαι τῆς δυνάμεως, οὕτω διωκηθέντα ταῖς παιδιαῖς περὶ

ἡμᾶς καθελῶσαι, ἢ εἰ τὸν βάρβαρον ἦγες ἐπὶ τὸν Ἄθω πλέοντα. ἀλλ' ἡμεῖς μὲν, ὦ θαυμάσιε, Μωσεῖ τε Ἠλίᾳ καὶ τοῖς οὕτω μακαρίοις ἀνδράσι σωσόμεν, ἐκ τῆς βαρβάρου φωνῆς διαλεγομένοις ἡμῖν τὰ ἑαυτῶν· καὶ τὰ παρ' ἐκείνων φθεγγόμενα, νοῦν μὲν ἀληθῆ, λέξιν δ' ἁμαρτῆ· ὡς αὐτὰ ταῦτα δηλοῖ. εἰ γάρ τι καὶ ἡμεῖς παρ' ὑμῶν διδαχθέντες, ὑπὸ τοῦ χρόνου ἐπελαθόμεθα. αὐτὸς δ' ὅπισθεν ἡμῖν, ἄλλας ἐπωδὰς ὄπισθεν ποιούμενος, αἳ καί σε δείξουσι, καὶ ἡμᾶς οὐκ ἐλέγξουσι. τὸν μὲν Ἀνύσιον ἤδη σοι προσήγαγον ὡς ἐμαυτὸν μόνον. εἰ δ' ἐμός ἐστι παῖς, τί παῖδός ἐστι τὸ παιδίον; πένης ἐκ πένητος. γνώσεσθον δὲ τὸ λεγόμενον αὐτίκα σοφός τε καὶ σοφιστής.

Λιβάνιος Βασιλείῳ.

Εἰ πάνυ πολλοῦ χρόνον ἐσκόπεις πῶς αὖ ἔρισα σωφρόνοις τοῖς πρὸ τῶν σῶν γραμμάτων ἡμετέροις γράμμασιν, οὐκ ἂν ἄμεινον τοῦτο ποιῆσαι ἐδόκεις, ἢ τοιαῦτα γράφων ὁποῖα νῦν ἔγραψας. καλεῖς μὲν γάρ με σοφιστήν. τί δ' οὖν τοιοῦτον εἶδες ἐμοῦ, ὃ δυνάσθη τὰ μικρὰ μεγάλα ποιεῖν, καὶ τὰ μεγάλα μικρά. καὶ δὴ τῷ ἐμῷ ὄπισθεν βεβουλῆσθαι φῂς δεῖξαι τὴν σὴν, καλὴν οὐκ οὖσαν, καλήν· εἶναί τε οὐδὲν ἧς νῦν ἔπεμψας βελτίω. ὅλως τε ἀδημίαν εἶδες σοὶ λόγων δυνάμεως· μὴ νῦν ὄντων ἐν χερσὶ βιβλίων τοῦτο οὐ ποιούντων, ὧν δὲ εἶχες πρότερον λόγων ἐξερρυηκότων. καὶ ταῦτα πείθειν ὄπισθεν, οὕτω καλῷ καὶ ταύτῃ, ᾧ λέγεις κακῶς, εἰργάσω τῷ ὄπισθεν, ὥσθ' οἱ παρόντες ἡμῖν οὐκ εἶχον μὴ πηδᾶν ἀναμνησκομένοις. ἐθαύμασα οὖν ὅπως ταύτῃ τῷ πρότερον καθελεῖν ὄπισθεν ἐχρήσω, τῷ φανῆναι ταύτῃ τῷ πρότερον ἐοικέναι, ταύτῃ τῷ πρότερον ἐκόσμησας. χρῶ δὲ ἄρα τὸν τοῦτο βουλόμενον, χείρονα ποιῆσαι ταύτῃ ὅπῃ δύσβολῆ τὸ πρόσθεν. ἀλλ' οὐκ ἴσως, οἶμαι, σὸν, ἀδικῆσαι τῷ ἀληθείαν. ἠδίκηται δ' αὖ, γράφοντος ἐξεπίτηδες φαυλότερα, καὶ οὐ χωμένου τοῖς οὖσι. τὸ αὐτὸ τοίνυν αὖ εἴη τὸ μήτε ψέγειν ἃ δίκαιον ἐπαινεῖν· ἵνα μή σε τὸ πρᾶγμα

φέρον

φέρον εἰς σοφισὰς ἐμβάλῃ, πειρώμενον ταπεινὰ τὰ μεγάλα ποιεῖν. βιβλίων μὲν οὖν ὧν φῂς εἶ) χείρω μὲν τῷ λέξιν, ἀμείνω δὲ τῷ διάνοιαν, ἔχου· καὶ οὐδεὶς κωλύει· ἀλλ' ὃ ἡμετέρων μὲν ἀεὶ, σῶν δ' ὅ τι ποθέτερον, αἱ ῥίζαι μένουσί τε καὶ μενοῦσιν ἕως ἂν ἦς· καὶ οὐδεὶς μήποτε αὐτὰς ἐκτέμοι χρόνος, οὐδ' ἂν ἥκιστα ἀρδοις.

Λιβάνιος Βασιλείῳ. 4

Οὔπω μοι τῆς λύπης ὑφῆκας· ὥστε μεταξὺ γράφοντα πρὸς ἐμεῖν. ἀλλ' εἰ μὲν ὑφῆκας, τί οὐκ ὀπισέλκεις ὦ ἄριστε; εἰ δὲ κατέχεις ἔτι (ὃ πάσης λογίας ψυχῆς καὶ τῆς σῆς ἀλλόβριον) πῶς ἄλλοις κηρύττων, μέχρι δυσμῶν ἡλίου μὴ χεῖρας φυλάττειν λύπην, ἐν πολλοῖς ἡλίοις ἐφύλαξας; ἢ τάχα ζημιῶσαί με ποθεῖλου· ὠμορεῖσθαί με βούλει, τῆς μελιχρᾶς σου φωνῆς ἀποστερῶν. μὴ σύ γε ὦ γλυκύτατε· ἀλλὰ γλυκὸ ποιεῖς, καὶ δὸς ἀπολαύειν τῆς παιχρύσου σου γλώττης.

Βασίλειος Λιβανίῳ.

Οἱ ποθεῖς τὸ ῥόδον ἔχοντες ὡς τοῖς φιλοκάλοις εἰκὸς, οὐδὲ ποθεῖς αὐτὰς τὰς ἀκάνθας, ὧν τὸ ἄνθος ἀνθεῖται, δυσχεραίνουσι. καίτοι τινὸς ἤκουσα τοιοῦτόν τι περὶ αὐτῶν παίζοντος τάχα, ἢ καὶ σπουδάζοντος· ὅτι καθάπερ ἐρωτικά τινα κινήσματα τοῖς ἐρασταῖς, τὰς λεπτὰς ἐκείνας ἀκάνθας ἡ φύσις τῷ ἄνθει ποθεσέφυσε, ποθεῖς μείζονα πόθον τοῖς ἀπλήκτοις κέντροις τοὺς δρεπομένους ἐπεγείρουσα. τί μοι δὴ βούλεται τοῖς χαλέπασι τὸ ῥόδον ἐπισαγόμενον; πάντως οὐδέν σε χρὴ διδαχθῆναι, τῆς ὀπισολῆς μεμνημένον τῆς σῆς· ἢ τὸ μὲν ἄνθος εἶχε τὸ ῥόδου ὅλον ἡμῖν τὸ ἔαρ τῆς ἀγλωθλίας διαπεπάσασα, μέμφεσι δέ τισι καὶ ἐγκλήμασι καθ' ἡμῶν ἐξηκάνθωτο. ἀλλ' ἐμοὶ τῷ σῶν λόγων καθ' ἡδονὴν ὅτι καὶ αἱ ἄκανθαι, ποθεῖς μείζονα πόθον τῆς φιλίας ἀνακαίουσαι·

καὶ

Λιβανίος Βασιλείῳ. 5

Γᾶς μὴν ὁπίσκοπος πρᾶγμα δυσχρήπισον. σὺ δὲ ὅσῳ τοῖς ἄλλοις παρελήλυθας λογίστιν, τοσούτῳ καὶ φόβον μοι παρέχῃς, μήπως ἔξαρνος ᾖς πρὸς τὴν αἴτησιν, κἀπειδὴ χρωτήρων δέομαι. κἀμαχας δι' αἰ ἢ χάρακας ἄλλος εἶπε σοφιστὴς, οὐ χρήζων, ἀλλὰ τοῖς ῥήμασι ἐγκαλλωπιζόμενος, ἢ τῆς χρείας μνήμων. ἐγὼ δὲ εἰμὶ σὺ πρόχειρο, ὕπαγε δρόμος διαχάραττε.

Βασίλειος Λιβανίῳ.

Εἰ τὸ κερδαίνειν τοῦ χρηματίζειν λέγεται, καὶ τούτῳ ἔχει τινὰ σημασίαν ἡ λέξις; ἰὼ ἐκ τῶν Πλάτωνος ἀδύτων ἡ σοφιστική σου ἡμῖν προσεχρείσατο, σκόπησον ὦ θαυμάσιε, πότερον μᾶλλόν ἐστι δυσχρήστος· ἡμεῖς οἱ οὕτω δι' ὀψολιμαΐας δυσάμενοι ἀποχαρακούμενοι, ἢ τὸ τῶν σοφιστῶν γένος, οἷς πέφυκε τὸ τελωνεῖν τοὺς λόγους ἐστί. πότερον τῶν ὁπισκόπων τοὺς λόγους ἐφορολόγησε; πότερον τοὺς μαθητευομένους μισθοφόρους κατέστησεν; ὑμεῖς οἱ προσλαβόντες τοὺς λόγους ὤνια, ὥσπερ οἱ τὸ μέλιτος ἐφεταὶ τὰ μελίττικα. ὁρᾷς ὡς καὶ τὸν γέροντα ὑποσκιρτᾷν παρεκίνησας. ἐγὼ δέ σοι τὴν ταῖς μελέταις ἐμπομπεύουσι, ἰσορίθμους τοῖς ἐν Θερμοπύλαις ἀγωνιζομένοις στρατιώτας στρωτῆρας χιλιάδων προσέταξα· ἅπαντας ἀμήκεις, κἂν τὸν σὸν Ὅμηρον δολιχοσκίους, οὓς ὁ ἱερὸς Εὐσέβιος ἀποκατάστασιν καπηγγείλατο.

Λιβανίος Βασιλείῳ. 6

Οὐ παύσῃ Βασίλειε τὸν ἱερὸν τοῦτον τῶν Μουσῶν σηκὸν μεσὸν ποιῶν Καππαδοκῶν; καὶ ταῦτα, ἀποζόντων χιτῶνας καὶ χλαίνας, καὶ τῶν ἐκεῖθεν καλῶν; μικροῦ δέ με καὶ Καππαδόκην ἔφησαν, ἀείμοι τὸ προσκυνῶ σε προσάδοντες. δεῖ δ' ὅμως ἀνέχεσθαι, Βασιλείου κελεύοντος. ἴσθι δὲ ὡς τῆς μὲν χώρας τοὺς τόπους ἐξακριβάζων, τὴν δ' ἀληθείαν

καὶ τὸ ἐμμελὲς τῆς ἐμῆς Κωμῳδίας, μεταμφιάσω τοὺς ἄνδρας, ἵν' ὀφθείην ὑμῖν αὐτὴ φασκοῦσα θεᾶσθαι.

Βασίλειος Λιβανίῳ.

Λέλυταί σοι τὸ διάζυγμον. τοῦτο γὰρ ἔσω τῆς ὀπισθίας τὸ θερμότερον. σὺ δὲ σκῶπτε καὶ διάσυρε τὰ ἡμέτερα, ἔστε γελῶν, ἔστε σαυδάζων. τί δὲ χρόνος ἢ γειτὼν ἐμνημόνευσας; παρὸν ἐντρυφᾶν ἡμῖν τοῖς σκώμμασιν; ἐγὼ δὲ ὦ Λιβάνιε, ἵνα σοι καὶ πλατὺ κινήσω τὸν γέλωτα, τὸ σῶμα πάσμασι καλυπτόμενος χόνις τῷ ὀπισθίῳ ἔχαλκα. ὦ δεξάμενος καὶ φαύων χερσὶ, νόσῳ ὡς κρυερᾷ τις αὖτη, καὶ τὸν πέμψαντα χαλκτείρει ἐμφωλεύοντα, καὶ μὴ δυνάμενον ἔξω τῶν δωμάτων θερμύνειν. τάφος γὰρ τοῖς οἴκοις κεκτήμεθα, μέχρις ὀπλάδη τὸ ἔαρ, καὶ νεκροὶ ἡμᾶς ὄντας θεὸς ζωῷ ἐπανάξῃ, πάλιν τὸ εἶδος, ὡς φυτοῖς, χαριζόμενον.

Βασίλειος Λιβανίῳ. 7

Πολλοὶ θεὶ τυχόντες ἡμῖν τῶν αὐτόθι, ἐθαύμασάν σου τὸν ἐν τοῖς λόγοις ῥητόν. ἔλεγον γὰρ ὀπίδειξίν τινα γεγενῆσθαι λαμπρὰν ἄγαν. καὶ ἀγὼν ἦν (ὡς ἔφασκον) μέγιστος· ὡς πάντας μὲν σιωπᾶν, καὶ μηδένα ἕτερον ἐν τῇ πόλει φανῆναι, ἢ μόνον Λιβάνιον ἀγωνιζόμενον, καὶ πᾶσαν ἡλικίαν ἀκροωμένην. οὐ γὰρ ἠξίου τις ἔξω τῶν ἀγώνων γενέσθαι, οὐκ ἀξιώματος ὄγκῳ σεμνὸν, οὐ γραπτικοῖς καταλόγοις ἐμπρέπων, οὐ βαναύσοις τέχναις σχολάζων. ἤδη δὲ καὶ γυναῖκες παρῆσαν καπηλεύουσαι τοῖς ἀγῶσι. τίς δὲ ὁ ἀγών, τίς δὲ ὁ λόγος ὁ τὸν παίδημον σιωπᾶν εἰς πανήγυριν; καὶ δή μοι ἤγγειλαν δυσκόλου ῥᾳθυμίαν ἀνδρὸς τὸν λόγον ἐνηκέναι. ὃν οὕτω θαυμαζόμενον μὴ κατόκνει μοι πέμψαι· ἵνα καὶ ἐγὼ τῶν λόγων ἐπαινέτης εἶμι τῶν σῶν. ὁ γὰρ Λιβάνιον ἐπαινῶν καὶ τῶν ἔργων ἐκτὸς, τίς ἂν ἡμῶν νοῦν ἔχων ἐπαίνων φθόνος;

Λιβάνιος Βασιλείῳ.

Ἰδοὺ πέπομφα τὸν λόγον ἱδρῶτι ῥειρρέομαι. πῶς γὰρ οὐκ ἔμελλον, ἀνδρὶ τοιούτῳ πέμπων τὸν λόγον, ὃς ἱκανός ἐστι τὴν Πλάτωνος σοφίαν καὶ Δημοσθένους δεινότητα δεῖξαι θρυλλουμένας μάτην; τὸ δὲ ἐμὸν, τοιοῦτον οἷ κώνωψ ἐλέφαντι ῥᾳδιουργόμενος. ὅθεν πέφευγα καὶ τρέμω, τὴν ἡμέραν λογιζόμενος καθ' ἣν σκέψῃ τοὺς λόγους. μικροῦ γὰρ καὶ τῶν φρενῶν ἐκπέπωκα.

Βασίλειος Λιβανίῳ. 8

Ἀνέγνων τὸν λόγον σοφώτατε, καὶ ὑπερεθαύμασα. ὦ Μοῦσαι, καὶ λόγοι, καὶ Ἀθηναι, οἷα τοῖς ἐραστὰς δωρεῖσθε· οἵοις κομίζονται τοὺς καρποὺς οἱ βραχύ τινα χρόνον ὑμῶν συγγινόμενοι. ὦ πηγῆς πολυχεύμονος, οἵοις ἐδείξε τοὺς ἀρυομένους. αὐτὸν γὰρ ἐδόκουν ὁρᾶν ἐν τῷ λόγῳ τὸν λάλω σιωπῶντα χαλαίῳ. ἔμπνουν γὰρ λόγον ὅπη χρονὸς Λιβάνιος ἔγραψεν, ὃς μόνος τοῖς λόγοις ψυχὴν ἐναπέσταξε.

Λιβάνιος Βασιλείῳ.

Νῦν ἔγνων εἰ ὃ λέγομαι. Βασιλείου γάρ με ἐπαινέσαντος, καὶ πάντων ἔχω τὰ νικητήρια. καὶ τὴν ψῆφον δεξαμένῳ τὴν σὴν ἔπεσι καθίζειν μετὰ σοφροσύνης βασίσματος, οἷά τις ἀλαζὼν τοὺς πάντας ἀφρονῶν. ἐπεὶ οὖν καὶ σοὶ καὶ μέθης λόγος πεπόνηται, βουλόμεθα τούτῳ ἀπευχεῖν. ἀλλὰ κομψὸν μὲν λέγειν οὐκ ἐθέλω, ὁ δὲ λόγος ὀφθεὶς διδάξει με τὴν τοῦ λόγου τέχνην.

Λιβάνιος Βασιλείῳ. 9

Ἆρα Βασίλειε μὴ τὰς Ἀθηνᾶς οἰκεῖς, καὶ λέληθας σεαυτόν; οὐ γὰρ τῶν Καισαρέων οἱ παῖδες ταῦτα ἀκούειν ἠδυνάντο. ἡ γλῶττα γάρ μοι τούτων ἑψὰς οὐκ ἰῶ· ἀλλ' ὡσπερεί τινα κρημνὸν διοδεύοντος πλησίον τῇ τῶν ὀνομάτων

καινοτομία, ἐμοί τε τῷ πατρὶ ἔλεγε, πάτερ οὐκ ἐδίδαξας. Ὅμηρος σοῦ ἀνήρ; ἀλλὰ Πλάτων; ἀλλ' Ἀριστοτέλης; ἀλλὰ Σουσαείων, ὁ τὰ πάντα ὑπισάμβος; καὶ ταῦτα μὴ γλῶτται· σὲ δὲ εἴη Βασιλείᾳ τοιαῦτα ἡμᾶς ἐπαινεῖν.

Βασίλειος Λιβανίῳ.

Δεχομβίοις μὲν ἡμῖν ἃ χράφεις χαρά· ἀπαιτουμβίοις δὲ τοὺς ἃ χράφεις ἀνυπισχέλειν, ἀχθόν. τί γὰρ ἂν ἔτοιμον τοὺς οὕτως ἀπλικίζουσαν γλῶτται; πλὴν ὅτι ἀλιέων εἰμὶ μαθητής, ὁμολογῶ, καὶ φιλῶ.

ΛΟΥΚΙΑΝΟΥ ΠΡΟΣ ΝΙΓΡΙΝΟΝ ΕΠΙΣΤΟΛΗ.

ΛΟΥΚΙΑΝΟΣ ΝΙΓΡΙΝΩ ΕΥ ΠΡΑΤΤΕΙΝ. Ἡ μὲν παροιμία φησὶ γλαῦκα εἰς Ἀθήνας, ὡς γλοιὸν ὂν εἴ τις ἐκεῖ κομίζει γλαῦκας, ὅτι πολλαὶ παρ' αὐτοῖς εἰσιν· ἐγὼ δ' εἰ μὲν δυνάμην λόγον ὑποδείξασθαι βουλόμενος, ἔπειτα Νιγρίνῳ γράψας βιβλίον ἔπεμπον, εἰχόμην ἂν τοῦ γλοιοῦ, γλαῦκας ὡς ἀληθῶς ἐμπορευόμενος· ἐπεὶ δὲ μόνῳ σοι δηλῶσαι τὴν ἐμὴν γνώμην ἐθέλω, ὅπως τε νῦν ἔχω, καὶ ὅτι μὴ παρέργως εἴλημμαι περὶ τῶν λόγων, ἀποφεύγομαι ἂν εἰκότως καὶ τὸ τοῦ Θουκυδίδου, λέγοντος ὅτι ἡ ἀμαθία μὲν θρασεῖς, ὀκνηροὺς δὲ τὸ λελογισμένον ἀπεργάζεται. δῆλον γὰρ ὡς οὐχ ἡ ἀμαθία μοι μόνη τῆς τοιαύτης τόλμης ἀλλὰ καὶ ὁ περὶ τοὺς λόγους ἔρως αἴτιος. Ἔρρωσο.

ΤΩΝ ΛΟΥΚΙΑΝΟΥ ΒΡΑΧΥΤΕΡΩΝ ΔΙΑΛΟΓΩΝ ΤΙΝΕΣ.

ΓΡΟΜΗΘΕΩΣ ΚΑΙ ΔΙΟΣ ΔΙΑΛΟΓΟΣ.

Γρ. Λῦσόν με ὦ Ζεῦ. δεινὰ γὰρ ἤδη πέπονθα. Ζ. Λύσω σε, φὴς, ὃν ἐχεῖῶ βαρυτέρας πέδας ἔχοντα, καὶ τὸν Καύκασον ὅλον ὑφ' κεφαλῆς ὀπισθόμορον, ὑσὸ ἑκκαίδεκα γυπῶν μὴμόνον κείρεσθαι τὸ ἧπαρ, ἀλλὰ καὶ ἐις ὀφθαλμοὺς ἐξορύτεσθαι; αὐθ' ὧν ἐιαῦθ' ἡμῖν ζῶα ἐις ἀνθρώπους ἔπλασας. καὶ τὸ πῦρ ἔκλεψας, καὶ τὰς γυναῖκας ἐδημιούργησας. ἃ μὰ γὰ ἐμὲ ἐξηπάτησας ἐν τῇ δίκῃ τῶν κρεῶν, ὁσᾶ πιμελῇ κεκαλυμμένα μοι ὤφθησαν, καὶ τὰ ἀμείνω τῶν μοιρῶν σεαυτῷ φυλάττων, τί χρὴ λέγειν; Γρ. Οὐκοῦν ἱκανῶ ἤδη τὰ δίκαια ἐκτέτικα, ἐσοῦτον χρόνον τῷ Καυκάσῳ σεσοπλωσθμος, τὸν κάκιστα ὀρνέων ἀπολούμενον ἀεὶ τρέφων τῷ ἥπατι; Ζ. Οὐδὲ πολλοσημότερον τοῦτο ὧν σε δεῖ παθεῖν. Πρ. Καὶ μὰ οὐκ ἀμαθῆ με λύσεις ὦ Ζεῦ, ἀλλά σοι ἀλυύσω πάνυ ἀναγκαῖον. Ζ. Καταστρέφῃ με ὦ Γρομηθεῦ. Πρ. Καὶ τί πλέον ἔχω; οὐ γὰ ἀγνοήσεις αὖθις ἔνθα ὁ Καύκασός ἐστιν, οὐδ' ἀπορήσεις δεσμῶν, ἐῶ τι τραχήλων ἀλίσκωμαι. Ζ. Εἰπὲ σεότερον, ὅτινα μαθὼν ἀποπαύσῃς, ἀναγκαῖον ἡμῖν ὄντα. Γρ. Ἤν εἴπω ἐφ', ὅ, τι βαδίζεις νεῶ, ἀξιόπιστος ἔσομαί σοι καὶ σεὶ τῶν ἐσολοίπων μανθανόμενος; Ζ. Πῶς γὰ οὔ; Πρ. Γαῖαν τὴν Θέτιν, σωτεσόμενος αὐτῇ. Ζ. Τουτὶ μὰ ἔγωγε. τί δ' οὖν τὸ ὅτι τοῦτο; δικαίᾳ γὰρ τι ἀληθὲς ἐρεῖν. Γρ. Μηδὲν ὦ Ζεῦ κοινωνήσῃς τῇ Νηρηίδι. ἐῶ γὰ αὐτὴ κυοφορήσῃ σε σοῦ, τὸ τεχθὲν ἴσα ἐργάσεταί σε οἷα καὶ σὺ ἔδρασας τὸν Κρόνον. Ζ. Τοῦτο φὴς; σκπεσεῖσθαί με τῆς ἀρχῆς;

Πρ. Μὴ γένοιτο ὦ Ζεῦ· πλὴν τοιοῦτόν γε ἡ μίξις αὐτῆς ἀπειλεῖ. Ζ. Χαιρέτω τοίνυν ἡ Θέτις, σὲ δὲ ὁ Ἥφαιστος ὀπὶ τύπτοις λυσάτω.

ΔΙΟΣ ΚΑΙ ΕΡΜΟΥ
ΔΙΑΛΟΓΟΣ.

Ζ. Τίνα τὸν Ἰνάχου παῖδα τὴν καλὴν οἶσθα ὦ Ἑρμῆ; Ἑρ. Ναί. τὴν Ἰὼ λέγεις. Ζ. Οὐκέτι παῖς ἐκείνη ἐστὶν, ἀλλὰ δάμαλις. Ἑρ. Τεράστιον τοῦτο. πῷ δὲ τρόπῳ μετεβλήθη; Ζ. Ζηλοτυπήσασα ἡ Ἥρα μετέβαλεν αὐτήν. ἀλλὰ καινόν τι καὶ δεινὸν ὑπεμηχανήσατο τῇ κακοδαίμονι. βουκόλον τινὰ πολυόμματον, Ἄργον τοὔνομα, ἐπέστησεν, ὃς νέμει τὴν δάμαλιν, ἄϋπνος ὤν. Ἑρ. Τί οὖν ἡμᾶς χρὴ ποιεῖν; Ζ. Καταπλάμενος ἐς τὴν Νεμέαν (ἐκεῖ δέ που ὁ Ἄργος βουκολεῖ) ἐκεῖνον μὲν ἀπόκτεινον· τὴν δὲ Ἰὼ διὰ τῶν πελάγους ἐς τὴν Αἴγυπτον ἀπαγαγὼν, ἴσην ποίησον. καὶ τοιοῦτον ἔστω θεὸς τοῖς ἐκεῖ· καὶ τὸν Νεῖλον ἀναγέτω, ἐξ οὗ ἐς ἀνέμους ὑπεμπέτω, καὶ σωζέτω τοὺς πλέοντας.

ΗΦΑΙΣΤΟΥ ΚΑΙ ΔΙΟΣ
ΔΙΑΛΟΓΟΣ.

Ἥφ. Τί με ὦ Ζεῦ δεῖ ποιεῖν; ἥκω γὰρ, ὡς ἐκέλευσας, ἔχων τὸν πέλεκυν ὀξύτατον, εἰ καὶ λίθους δέοι μιᾷ πληγῇ διαπεμεῖν. Ζ. Εὖγε ὦ Ἥφαιστε. ἀλλὰ διελέ μου τὴν κεφαλὴν εἰς δύο, κατενεγκών. Ἥφ. Πειρᾶ μου εἰ μέμνησαι; σκέψαι δὴ οὖν καλῶς, ὅπῃ θέλεις σοι γενέσθαι. Ζ. Διαιρεθῆναί μοι τὸ κρανίον. εἰ δὲ ἀπειθήσεις, οὐ νῦν σκέψῃ ὀργιζομένου πειράσῃ μου. ἀλλὰ χρὴ καθήκειν σε πάντα τῷ θυμῷ, μηδὲ μέλλειν. ἀπόλυμαι γὰρ ὑπὸ τῶν ὠδίνων, αἵμου τὸν ἐγκέφαλον ἀναστρέφουσιν. Ἥφ. Ὅρα ὦ Ζεῦ μὴ κακόν τι ποιήσωμεν. ὀξὺς γὰρ ὁ πέλεκυς ὅδε, καὶ οὐκ ἀναμωτὶ οὐδὲ κατὰ τὴν Εἰλείθυιαν μαιώσεταί σε. Ζ. Κατένεγκε

μόνον ὦ Ἥφαιστε θαῤῥῶν. οἶδα γὰρ ἐγὼ τὸ συμφέρον. Ἥφ. Ἄκων μὲν, κατοίσω δέ. Τί γὰρ χρὴ ποιεῖν, σοῦ κελεύοντος; τί τοῦτο; κόρη ἔνοπλος. μέγα ὦ Ζεῦ κακὸν εἶχες ἐν τῇ κεφαλῇ. εἰκότως γοῦν ὀξύθυμος ἦσθα, τηλικαύτην τὴν μήνιγγα παρθένον ζωογονῶν, καὶ ταῦτα ἔνοπλον. ἢ που σφαῖραν, οὐ κεφαλὴν, ἐλελήθεις ἔχων. ἡ δὲ πηδᾷ, καὶ πυρρίχιζει, καὶ τὴν Αἰγίδα ἀναίρεται, καὶ τὸ δόρυ πάλλει, καὶ ἐνθουσιᾷ. καὶ τὸ μέγιστον, καλὴ πάνυ καὶ ἀκμαία γεγένηται ἤδη ἐν βραχεῖ. γλαυκῶπις μέν, ἀλλὰ κομιεῖ καὶ τοῦτο ἡ κόρη. ὥστε ὦ Ζεῦ μαιωτράν μοι ἀπόδος, ἐγχύσας μοι αὐτήν. Ζ. Ἀδυνάτα αἰτεῖς ὦ Ἥφαιστε. παρθένος γὰρ ἀεὶ θέλει μένειν. ἐγὼ γοῦν, τό γε ἐπ' ἐμοὶ, οὐδὲν ἀντιλέγω. Ἥφ. Τοῦτ' ἐβουλόμην. ἐμοὶ μελήσει τὰ λοιπά· καὶ ἤδη σου ἁρπάσω αὐτήν. Ζ. Εἴ σοι ῥᾴδιον, οὕτω ποίει. πλὴν οἶδα ὅτι ἀδυνάτων ἐρᾷς.

ΜΕΝΕΛΑΟΥ ΚΑΙ ΠΡΩΤΕΩΣ ΔΙΑΛΟΓΟΣ.

Μ. Ἀλλὰ ὕδωρ μέν σε γίνεσθαι, ὦ Πρωτεῦ, οὐκ ἀπίθανον, ἁλιόν γε ὄντα· καὶ δένδρον, ἐπὶ φορητόν. καὶ εἰς λέοντα ὁπότε ἀλλαγείης, ὅμως οὐδὲ τοῦτο ἔχω πίστεως. εἰ δὲ καὶ πῦρ γένοιο δυνατὸν ἐν τῇ θαλάττῃ οἰκοῦντα, τοῦτο πάνυ θαυμάζω, καὶ ἀπιστῶ. Π. Μὴ θαυμάσῃς ὦ Μενέλαε. γίγνομαι γάρ. Μ. Εἶδον καὶ αὐτός. ἀλλά μοι δοκεῖς (εἰρήσεται γὰρ πρὸς σε) χρηστέαν τινὰ προσάγειν τῷ προσώπατι, καὶ τοὺς ὀφθαλμοὺς ἐξαπατᾶν τοὺς ὁρώντας, αὐτὸς ὢν οὐδὲν τοιοῦτο γιγνόμενος. Π. Καὶ πῶς οὐ μὴ ἀπάτη ὅτι τοῦ οὕτως ἐναργῶς γένοιτο; οὐκ ἀνεῳγμένοις τοῖς ὀφθαλμοῖς εἶδες ἐς ὅσα μετεποίησα ἐμαυτόν; εἰ δὲ ἀπίστεις, καὶ τὸ πρᾶγμα ψευδὲς εἶναι δοκεῖ, φαντασία τις περὶ τοὺς ὀφθαλμοὺς ἰσαμένη, ἐπειδὰν πῦρ γένωμαι, προσένεγκέ μοι ὡς γυμνότατα τὴν χεῖρα. ἔσομαι γὰρ εἰ ὁρῶμαι μόνον, ἡ δὲ τὸ καίειν τότε μοι προσέσται. Μ. Οὐκ ἀσφαλὴς ἡ πεῖρα, ὦ Πρωτεῦ. Π. Σὺ δέ μοι

Μενέλαε δοκεῖς οὐδὲ πολύποδα ἑωρακέναι πώποτε, ὃς ὁ πάρα ὁ ἰχθὺς ἐστὶ εἰδέναι. Μ. Ἀλλὰ τὸν μὲν πολύποδα εἶδον· ἃ πάρα ὢ, ἡδέως ἂν μάθοιμι παρὰ σοῦ. Γ. Ὁπόταν ἀν' πέτρα περιελθὼν ἁρμόσῃ τὰς κοτύλας, καὶ περισφιγῇ τὰς πλεκτάνας, ἐκείνῃ ὅμοιον ἀπεργάζεται ἑαυτόν· καὶ μεταβάλλει τὴν χρόαν, μιμούμενος τὴν πέτραν· ὡς ἂν λάθῃ τοὺς ἁλιέας, μὴ φαλλάττων, μηδὲ φανερὸς ὢν φαγεῖν τοῦτο, ἀλλ' ἐοικὼς τῷ λίθῳ. Μ. Φασὶ ταῦτα. τὸ δὲ σὸν πολλῷ παραδοξότερον, ὦ Γρωτεῦ. Γ. Οὐκ οἶδα, ὦ Μενέλαε, εἰ μή ἂν ἄλλῳ πιστεύσειας, τοῖς σαυτοῦ ὀφθαλμοῖς ἀπιστῶν. Μ. Ἰδὼν εἶδον. ἀλλὰ τὸ πρᾶγμα τεράστιον, τὸν αὐτὸν πῦρ καὶ ὕδωρ γίγνεσθαι.

ΠΑΝΟΠΗΣ ΚΑΙ ΓΑΛΗΝΗΣ
ΔΙΑΛΟΓΟΣ.

Π. Εἶδες ὦ Γαληνὴ, χθὲς οἷα ἐποίησεν ἡ Ἔρις παρὰ τὸ δεῖπνον ἐν Θετταλίᾳ, διότι μὴ ἐκλήθη ἐς τὸ συμπόσιον; Γ. Οὐ ξυνῆσθόμην ὑμῖν ἔρχομενος. ὁ γὰρ Ποσειδῶν ἐκέλευσέ με, ὦ Πανόπη, ἀκύμαντον ἐν τούτῳ φυλάττειν τὸ πέλαγος. πῶς οὖν ἐποίησεν ἡ Ἔρις μὴ παροῦσα; Π. Ἡ Θέτις καὶ ὁ Πηλεὺς ἀπεληλύθεσαν ἐς τὸν θάλαμον, ὑπὸ τῆς Ἀμφιτρίτης καὶ τοῦ Ποσειδῶνος παραπεμφθέντες· ἡ Ἔρις δ' ἐν τούτῳ λαθοῦσα πάντας (ἐδεδύκει δὲ ῥᾳδίως, τῶν μὲν πινόντων, ἐνίων δὲ κροπωύτων, ἢ τῷ Ἀπόλλωνι κιθαρίζοντι ἢ ταῖς Μούσαις ᾀδούσαις παρεσχόντων τὸν νοῦν) ἐνέβαλεν ἐς τὸ συμπόσιον μῆλόν τι πάγκαλον, χρυσοῦν ὅλον, ὦ Γαληνή. ἐπεγέγραπτο δὲ, Ἡ καλὴ λαβέτω. κυλινδούμενον οὖν τοῦτο, ὡς παρ' ἑξεπίτηδες ἦκεν ἔνθα Ἥρα τε καὶ Ἀφροδίτη καὶ Ἀθηνᾶ κατεκλίνοντο. καὶ πειδὴ ὁ Ἑρμῆς ἀνελόμενος ἐπελέξατο τὰ γεγραμμένα, αἱ μὲν Νηρηΐδες ἡμεῖς ἀπεσιωπήσαμεν· (τί γὰρ ἔδει ποιεῖν, ἐκείνων παρουσῶν;) αἱ δὲ ἀντεποιοῦντο ἑκάστη, ἢ αὐτῆς εἶη) τὸ μῆλον ἠξίουν. καὶ εἰ μὴ ὁ Ζεὺς διέκρινεν αὐτὰς, καὶ ἄχρι χρῶν ἐφιλονείκησαν τὸ πρᾶγμα, ἀλλ' ἐκεῖνος. Αὐτὰς μὲν οὐ κρι-

νωφῆσι) περὶ τούτου (καίτοι ἐκεῖναι αὐτὸν δικάσαι ἄξιον) ἄπιτε ἐς τὴν Ἴδην πρὸς τὸν Πριάμου παῖδα· ὃς οἶδε πολλῶν καὶ καλλίονα, φιλόκαλος ὤν, καὶ οὐκ ἂν ἐκεῖνος κρίναι κακῶς. Γ. Τί ἦν αἱ θεαί, ὦ Γανύμηδες; Π. Τὴμερον, οἶμαι, ἅπασι πρὸς τὴν Ἴδην. Γ. Καὶ τίς ἥξει μετὰ μικρὸν ἀπαγγέλλων ἡμῖν τὴν κρατήσασαν; Π. Ἤδη σοὶ φημί, οὐκ ἄλλη κρατήσει, τῆς Ἀφροδίτης ἀμφιζόμενης· ἰὼ μή τι πάνυ ὁ διαιτητὴς ἀμβλυώπει.

ΠΟΣΕΙΔΩΝΟΣ ΚΑΙ ΔΕΛΦΙΝΩΝ ΔΙΑΛΟΓΟΣ.

Π. Εὖγε ὦ Δελφῖνες, ὅτι ἀεὶ φιλάνθρωποί ἐστε. καὶ πάλαι μὲν τὸν Ἰνοῦς παῖδα ὑπὸ τὴν Ἰθμὸν ἐκομίσατε, ὑποδεξάμενοι ἀπὸ τῶν Σκιρωνίδων μετὰ τὴν μητρὸς ἐμπεσών· καὶ νῦν σὺ τὸν κιθαρῳδὸν τοῦτον τὸν ἐκ Μηθύμνης ἀναλαβών, ἐξενήξω ἐς Ταίναρον αὐτῇ σκευῇ καὶ κιθάρᾳ, οὐδὲ φειδεῖδος κακῶς ὑπὸ τῶν ναυτῶν ἀπολλύμενον. Δ. Μὴ θαυμάσῃς ὦ Γόσιδον, εἰ τοὺς ἀνθρώπους οὕτω ποιοῦμεν, ἐξ ἀνθρώπων γε καὶ αὐτοὶ ἰχθύες γενόμενοι. Γ. Καὶ μέμφομαί γε τῷ Διονύσῳ, ὅτι ὑμᾶς καταναυμαχήσας μετέβαλε, δέον χρώσαι μόνον, ὡς τοῖς ἄλλοις ὑπῆγετο. ὅπως δῆτα τὰ μετὰ τὸν Ἀρίονα τοῦτον ἐχθύετο ὦ Δελφίν; Δ. Ὁ Γρεγάνδρος, οἶμαι, ἔχαιρεν αὐτῷ, καὶ πολλάκις μετεπέμπετο αὐτὸν ὑπὲρ τῆς τέχνης. ὁ δέ, πλουτήσας παρὰ τοῦ τυράννου, ἐπεθύμησε πλεύσας οἴκαδε ἐς τὴν Μήθυμναν, ὑποδείξασθαι τὸν πλοῦτον. καὶ ὑπεδύσατο πορθμεῖόν τινος κακούργων ἀνδρῶν, ὡς ἔδοξε πολὺν ἄγων χρυσὸν καὶ ἄργυρον, ἐπεὶ κατὰ μέσον τὸ Αἰγαῖον ἐχθύετο, ὑπορυσσόντων αὐτῷ τοὺς ναύτας. ὁ δὲ (ἠκροώμην γὰρ ἅπαντα, παρανέων τῷ σκάφει) ἐπεὶ ταῦτα ὑμῖν δέδοκται (ἔφη) ἀπὸ τὴν σκευὴν ἀναλαβόντα με, καὶ ἄσαντα θρῆνόν τινα ἐπ' ἐμαυτῷ, ἑκόντα ἐάσατε ῥίψαι ἐμαυτόν. ἐπέρρεψαν οἱ ναῦται· καὶ ἀνέλαβε τὴν σκευήν, καὶ ἦσε πάνυ λιγυρῶς· καὶ ἔπεσεν εἰς τὴν θάλατταν, ὡς αὐτίκα πάντως ἀποθανούμενος. ἐγὼ δέ, ὑπολαβών, καὶ ἀναδέσμιος αὐτόν, ἐξενηξάμην ἔχων εἰς Ταίναρον. Π. Ἐπαινῶ τὴν φιλομουσίας. ἄξιον γὰρ τὸν μισθὸν ἀποδέδωκας αὐτῷ τῆς ἀκροάσεως.

ΓΟΣΕΙΔΩΝΟΣ ΚΑΙ ΝΗΡΗΙΔΩΝ ΔΙΑΛΟΓΟΣ.

Γ'. Τὸ μὲν ξενον πῦρ ἐς ὃ ἡ παῖς κατιωέχθη, Ἑλλήσποντος ἀπ' αὐτῆς καλείσθω. τὸν δὲ νεκρὸν ὑμεῖς ὦ Νηρηΐδες ἀναλαβοῦσαι, τῇ Τροιάδι προσενέγκατε, ὡς ταφείη ὑπὸ τῶν ὁπλιτῶν. Ν. Μηδαμῶς, ὦ Πόσειδον· ἀλλ' ἐνταῦθα ἐν τῷ ἐπωνύμῳ πελάγει τεθάφθω. ἐλεοῦμεν γὰρ αὐτὴν, οἰκτίσασα ὑπὸ τῆς μητρυιᾶς ἀπολωλυῖαν. Π. Τοῦτο μέν, ὦ Ἀμφιτρίτη, οὐ δίκαιος· οὐδὲ ἄλλως καλὸν ἐνταῦθά που κεῖσθαι ὑπὸ τῇ χάμμῳ αὐτὴν· ἀλλ', ὅπερ ἔφην, ἐν τῇ Τροιάδι ἐν τῇ Χερρονήσῳ τεθάφθαι. ἐκεῖνο δὲ προσήκον ἔσται αὐτῇ, ὅπως μετ' ὀλίγον τὰ αὐτὰ καὶ ἡ Ἰνὼ πείσεται, καὶ ἐμπεσεῖται, ὑπὸ τῶ Ἀθάμαντος διωκομένη, εἰς τὸ πέλαγος ἀπ' ἄκρου τοῦ Κιθαιρῶνος, καθ' ὃν καθήκει εἰς τοῦτο θάλασσαν, ἔχουσα καὶ τὸν υἱὸν ὁπλιτῆς ἀλκάλης. Ν. Ἀλλὰ καὶ κείνην σῶσαι δεήσει, θαλασσαμάσας τῷ Διονύσῳ. θρεπτὸς γὰρ αὐτῷ καὶ πάνυ ἡ Ἰνώ. Π. Οὐκ ἐχρῆν, οὕτω πονηρὰν οὖσαν· ἀλλὰ τῷ Διονύσῳ ἀχαριστεῖν, ὦ Ἀμφιτρίτη, οὐκ ἄξιον. Ν. Αὕτη δὲ ἆρα ἡ παθοῦσα κατέπεσεν ἀπὸ τοῦ κριοῦ; ὁ ἀδελφὸς δὲ ὁ Φρίξος ἀσφαλῶς ὀχεῖται; Π. Εἰκότως. νεανίας γὰρ, καὶ δυνατὸς ἀντέχειν πρὸς τοῦ φορεῖν· ἡ δὲ ὑπὸ ἀπειρίας, ὁπόθεν ὄχημα προσδοκοῦσα, καὶ ἀπιδοῦσα εἰς βάθος ἀχανές, ἐκπλαγεῖσα, καὶ τῷ χάμβει ἅμα σχεθεῖσα, καὶ ἰλιγγιάσασα πρὸς τὸ σφοδρὸν τῆς πτήσεως, ἀφατὸς ἐχώρει τοῦ κεράτων τοῦ κριοῦ, ὧν τέως ἐπελάμβανο, καὶ κατέπεσεν εἰς τὸ πέλαγος. Ν. Οὐκοῦν ἐχρῆν τὴν μητέρα τὴν Νεφέλην βοηθεῖν πεπουσηκέναι; Π. Ἐχρῆν· ἀλλ' ἡ μοῖρα πολλῷ τῆς Νεφέλης δυνατωτέρα.

ΙΡΙΔΟΣ ΚΑΙ ΓΟΣΕΙΔΩΝΟΣ ΔΙΑΛΟΓΟΣ.

Ι. Τὴν νῆσον τὴν πλανωμένην, ὦ Γόσειδον, ἀπασα-

ἀθεῖσαν τῆς Σικελίας, ὕφαλον ὀπτὴν χέρσον συμβεβηκέναι. Τούτῳ, φησὶν ὁ Ζεύς, σῆσον ἤδη, καὶ ἀνάφηνον, καὶ ποίησον ἤδη δῆλον ἐν τῷ Αἰγαίῳ μέσῳ βεβαίως μένειν, σεῖξας πάνυ ἀσφαλῶς. δεῖται γὰρ τῆ αὐτῆς. Γ. Πεπραίξεται τοῦτο ὡ Ἥρα. πῶς γὰρ ὅμως παρέξει αὐτῷ τὴν χρείαν ἀναφανεῖσα, καὶ μηκέτι πλέουσα; Ι. Τῷ Λητοῖ ἐπ' αὐτῆς δεῖ ἀποκυῆσαι. ἤδη γὰρ πονήρως ἔχει τῶν ὠδίνων ἔχει. Γ. Τί οὖν; οὐχ ἱκανὸς ὁ οὐρανὸς ἐπέχειν; εἰ δὲ μή ἐστι, ἀλλά γε πᾶσα ἡ γῆ οὐκ ἂν ὑποδέξαιτο δύο παῖδας αὐτῆς γοναῖς; Ι. Οὐκ, ὦ Ποσειδον. ἡ Ἥρα γὰρ ὅρκῳ μεγάλῳ κατέλαβε τὴν γῆν, μὴ προσδέξασθαι τὴν Λητοῖ τὼν ὠδίνων ὑποδοχήν. ἡ δέ νῦν νῆσος αὕτη ἀνώμοτός ἐστιν. ἀφανὴς γὰρ ἦν. Π. Συνίημι. σῆσον ὦ νῆσε, καὶ ἀνάδυθι αὖθις ἐκ τοῦ βυθοῦ· καὶ μηκέτι ὑποφέρου, ἀλλὰ βεβαίως μένε. καὶ ὑποδέξαι ὦ εὐδαιμονεστάτη τοὺ ἀδελφοὺ τὰ τέκνα δύο, τοὺς καλλίστους τῶν θεῶν. καὶ ὑμεῖς, ὦ Τρίτωνες, διαπορθμεύσατε τὴν Λητοῦν ἐς αὐτήν· καὶ γαληνὰ ἅπαντα ἔστω. τὸν δράκοντα δὲ, ὃς νῦν ἐξοισρεῖ αὐτῇ, φοβῶν τὰ νεογνά, ἐπειδὰν τέχθῃ, αὐτίκα μέτεισι, καὶ ἁμφήσει τῇ μητρί. σὺ δὲ ἄπαγε τῷ Διί, πάντα εἴ ὁ τρέπει. ἔσηκεν ἡ Δῆλος· ἥκετε ἡ Λητοῦ, καὶ ἀκούετε.

ΞΑΝΘΟΥ ΚΑΙ ΘΑΛΑΣΣΗΣ ΔΙΑΛΟΓΟΣ.

Ξ. Δέξαι με ὦ θάλασσα δεινὰ πεπονθότα· καὶ σβέσον μου τὰ τραύματα. Θ. Τί τοῦτο, ὦ Ξάνθε; τίς σε κατέκαυσεν; Ξ. Ἥφαιστος. δῆλα ἀπανθράκωμαι ὅλως ὁ κακοδαίμων, καὶ ζέω. Θ. Διὰ τί δέ σοι ἐνέβαλε τὸ πῦρ; Ξ. Διὰ τὸν υἱὸν τῆς Θέτιδος. ἐπεὶ γὰρ φονεύοντα τοὺς Φρύγας ἐκένευσα, ὁ δ' οὐκ ἐπαύσατο τῆς ὀργῆς, ἀλλ' ὑπὸ τῶν νεκρῶν ἀπέφραξέ μοι τὸν ῥοῦν, ἐλεήσας τοὺς ἀθλίους, ἐπῆλθον, ἐπικλύσας θέλων, ὡς φοβηθεὶς ἀποχοιτο τῶν ἀνδρῶν. ἐκεῖνα

ὁ Ἥφαιστος (ἔτυχε γὰρ πλησίον που ὢν) πᾶν ὅσον οἶμαι πῦρ εἶχε, καὶ ὅσον ἐν τῇ Αἴτνῃ, καὶ ἔπηδα ἄλλοθι, φέρων, ἐπῆλθέ μοι· καὶ ἔκαυσε μοῦ τὰς πτελέας καὶ μυρρίνας, ὥπτησε δὲ καὶ τοὺς κακοδαίμονας ἰχθῦς, καὶ τὰς ἐγχέλυας· αὐτὸν δὲ ἐμὲ ὑπὸ καχλάσας ποιήσας, μικροῦ δεῖν ὅλον ξηρὸν εἰργάσατο. ὁρᾷς δ' οὖν ὅπως δέδεικμαι ὑπὸ τῶν ἐκκαυμάτων; Θ. Θολερὸς, ὦ Ξάνθε, καὶ θερμὸς, ὡς εἰκός. τὸ αἷμα μὲν, ἀπὸ τῶν νεκρῶν· ἡ θέρμη δὲ, ὡς φῂς, ἀπὸ τοῦ πυρός. καὶ εἰκότως, ὦ Ξάνθε· ὃς ὅπου τὸν ἐμὸν υἱὸν ὤρμησας, οὐκ αἰδεῖ ὅτι Νηρηΐδος υἱὸς ἦν. Ξ. Οὐκ ἔδει οὖν ἐλεῆσαι γέροντας ὄντας τοὺς Φρύγας; Θ. Τὸν Ἥφαιστον δὲ οὐκ ἔδει ἐλεῆσαι Θέτιδος υἱὸν ὄντα τὸν Ἀχιλλέα;

ΓΛΑΥΚΩΝΟΣ, ΚΡΟΙΣΟΥ, ΜΕΝΙΠΠΟΥ, ΔΙΑΛΟΓΟΣ.

Κρ. Οὐ φέρομαι, ὦ Πλούτων, Μένιππον τουτονὶ τὸν κωφὸν παροικεῖν. ὥστε ἢ ἐκεῖνόν μοι κατάσησον, ἢ ἡμεῖς μετοικήσομεν εἰς ἕτερον τόπον. Γλ. Τί δ' ὑμᾶς δεινὸν ἐργάζεται, ὁμόνεκρος ὤν; Κρ. Ἐπειδὴ ἡμεῖς οἰμώζομεν καὶ στένομεν, ἐκείνων μεμνημένοι τῶν ἄνω, Μίδας μὲν οὑτοσὶ, τοῦ χρυσίου· Σαρδανάπαλος δὲ, τῆς πολλῆς τρυφῆς· ἐγὼ δὲ, τῶν θησαυρῶν· ὀπτηλᾶ, καὶ ἐξονειδίζει, ἀνδράποδα καὶ καθάρματα ἡμᾶς ἀποκαλῶν. ἐνίοτε δὲ καὶ ᾄδων ὀπτᾶ ἐρᾷ τὰς οἰμωγάς· καὶ ὅλως λυπηρός ἐστι. Γ. Τί ταῦτα φασὶν ὦ Μένιππε; Μ. Ἀληθῆ, ὦ Πλούτων. μισῶ γὰρ αὐτοὺς, ἀγλυκεῖς καὶ ὀλεθρίους ὄντας, οἷς οὐκ ἀπέχρησε βιῶναι κακῶς, ἀλλὰ καὶ ἀποθανόντες, ἔτι μέμνηνται καὶ φθονέχονται τῶν ἄνω. χαίρω τοιγαροῦν αἰῶνα αὐτούς. Γλ. Ἀλλ' οὐ χρή. λυπούμενοι γὰρ οὐ μικρῶν στερούμενοι. Μ. Καὶ σὺ μοιραί-

νεις ὦ Πλούτων ὁμόψηφος ὢν τοῖς τούτων στεναγμοῖς; Π. Οὐδαμῶς. ἀλλ' οὐκ ἂν ἐθελήσαιμι σασιάζειν ὑμᾶς. Μ. Καὶ μὴν, ὦ κάκιστοι Λυδῶν, καὶ Φρυγῶν, καὶ Ἀσσυρίων, οὕτω γινώσκετε ὡς οὐδὲ παυσομένου μοῦ. ἔνθα γὰρ ἂν ἦτε, ἀκολουθήσω αἰτιῶν, καὶ κατάδων, καὶ καταγελῶν. Κρ. Ταῦτα οὐχ ὕβρεις; Μ. Οὔκ. Ἀλλ' ἐκεῖνα ὕβρεις ἴσως, ἃ ὑμεῖς ἐποιεῖτε, θεοσκωπεῖσθαι ἀξιοῦντες, καὶ ἐλευθέροις ἀνδράσιν ἐντρυφῶντες, καὶ τοῦ θανάτου παῤῥάπαν οὐ μνημονεύοντες. τοιγαροῦν οἱ μὲν ζῆτε, πάντων ἐκείνων ἀφνειώτατοι. Κρ. Πολλῶν γε, ὦ θεοὶ, καὶ μεγάλων κτημάτων. Μ. Ὅσου μὲν ἐγὼ χρυσοῦ. Σαρ. Ὅσης δ' ἐγὼ τρυφῆς. Μ. Εὖ γε οὕτω ποιεῖτε. ὀδύρεσθε μὲν ὑμεῖς, ἐγὼ δὲ, τὸ γνῶθι σαυτὸν πολλάκις σωφρόνων, ἐπάσομαι ὑμῖν. πρέποι γὰρ ἂν ταῖς τοιαύταις οἰμωγαῖς ἐπᾴδοντα.

ΜΕΝΙΠΠΟΥ, ΑΜΦΙΛΟΧΟΥ, ΚΑΙ ΤΡΟΦΩΝΙΟΥ, ΔΙΑΛΟΓΟΣ.

Μ. Σφὼ μέντοι, ὦ Τροφώνιε, καὶ Ἀμφίλοχε, νεκροὶ ὄντες, οὐκ οἶδ' ὅπως ναῶν κατηξιώθητε, καὶ μάντεις δοκεῖτε· καὶ οἱ μάταιοι τῶν ἀνθρώπων θεοὺς ὑμᾶς ὑπειλήφασιν εἶναι. Τρ. Τί οὖν ἡμεῖς ἄπροι, εἰ ὑπ' αἰσίας ἐκεῖνοι τοιαῦτα περὶ νεκρῶν δοξάζουσιν; Μ. Ἀλλ' οὐκ ἂν ἐδόξαζον, εἰ μὴ ζῶντες καὶ ὑμεῖς τοιαῦτα ἐπεφαντεύεσθε, ὡς τὰ μέλοντα προειδότες, καὶ προειπεῖν δυνάμενοι τοῖς ἐρομένοις. Τρ. Ὦ Μένιππε, Ἀμφίλοχος μὲν οὖπω ἂν εἰδείη, ὅπ αὐτῷ ἀπόκειται παρ' αὐτοῦ· ἐγὼ δὲ ἥρως εἰμὶ, καὶ μαντεύομαι, ἴσως πατέλθῃ παρ' ἐμέ. σὺ δ' ἔοικας οὐκ ὀπωδηκέναι Λεβαδείᾳ πώποτε. ἢ γὰρ ἂν ἔπίστεις σὺ τούτοις. Μ. Τί φῄς; εἰ μὴ ἐς Λεβάδειαν γὰρ παρέλθω, καὶ ἐσαλμὸς ταῖς ὀδόναις, γελοίως μάζαν

ἐν ταῖν χεροῖν ἔχων, ἑσερπύσω διὰ τοῦ στόμου παπεινοῦ ὄντος ἐς τὸ στόμαχον, οὐκ αὖ ἐδυνάμην εἰδέναι ὅτι νεκρὸς εἶ, ὥσπερ ἡμεῖς, μόνῃ τῇ χροιᾷ διαφέρων; ἀλλὰ ποῖος τῆς μαντικῆς, ἢ ὃ ἥρως ὅστις; ἀγνοῶ γάρ. Τρ. Ἐξ ἀνθρώπου τε καὶ θεοῦ σύνθετον. Μ. Ὁ μήτε ἄνθρωπός ἐστιν, ὡς φῄς, μήτε θεός, πῶς σύναμφότερόν ἐστι; νυνὶ σοί που τὸ θεοῦ ἐκεῖνο ἡμίτομον ἀπελήλυθε; Τρ. Χρᾷ ὦ Μένιππε ἐν Βοιωτίᾳ. Μ. Οὐκ οἶδα ὦ Τροφώνιε ὅ, τι καὶ λέγεις. ὅπως μέντοι ὅλος εἶ νεκρός, ἀκριβῶς ὁρῶ.

ΕΡΜΟΥ ΚΑΙ ΧΑΡΩΝΟΣ

ΔΙΑΛΟΓΟΣ.

Ἑρ. Λογισώμεθα ὦ πορθμεῦ, εἰ δοκεῖ, ὁπόσα μοι ὀφείλεις ἤδη· ὅπως μὴ αὖθις ἐπιζωμέν τι παρὰ σοῦ αἰτῶν. Χ. Λογισώμεθα, ὦ Ἑρμῆ. ἄμεινον γὰρ ὁρίσαι παρ' αὐτῶν, καὶ ἀπαραιτητότερον. Ἑρ. Ἄγκωνας ἐπιλαμβάνῃ ἑκόμισα πέντε δραχμῶν. Χ. Πολλοῦ λέγεις. Ἑρ. Νὴ τὴν Ἀϊδωνέα, τῶν πέντε ὠνησάμην, καὶ ἐβαπτήθης δύο ὀβολῶν. Χ. Τί-θει πέντε δραχμὰς, καὶ ὀβολοὺς δύο. Ἑρ. Καὶ ἀκέρσαν ὑπὲρ τοῦ ἰσίου· πέντε ὀβολοὺς ἐγὼ κατέβαλον. Χ. Καὶ τούτοις πειστέον. Ἑρ. Καὶ κηρὸν, ὡς ἐπλάσω τὸ σκαφίδιον τὰ αἰεωρήματα· καὶ ἥλους ἦ, καὶ καλώδιον, ἀφ' οὗ τὼ ὑπέρεσαν ἐποίησας· δύο δραχμῶν ἅπαντα. Χ. Εὖ γε ἄξια ταῦτα ὠνήσω. Ἑρ. Ταῦτά ἐστιν, εἰ μή τι ἄλλο ἡμᾶς διέλαθεν ἐν τῷ λογισμῷ. πότε δ' οὖν ταῦτ' ἀποδώσειν φῄς; Χ. Νυνὶ μέν, ὦ Ἑρμῆ, ἀδυνάτων· ἴσως ἢ λοιμὸς ἢ πόλεμος καταπέμψῃ ἀθρόους ἴσως, ἐπέσαι ποτὲ ἀποκερδαίνειν ἐν τῇ πλήθει παραλογιζόμενον τὰ πορθμία. Ἑρ. Νυνὶ οὖν ἐγὼ καθεδοῦμαι, τὰ κάκιστα ἀχόμενος γενέσθαι, ὡς αὖ ἀπὸ τούτων ἀπολαύσιμι. Χ. Οὐκ ἔστιν ἄλλως, ὦ Ἑρμῆ. νυνὶ δ' ὀλίγοι, ὡς ὁρᾷς, ἀφικνοῦνται ἡμῖν. εἰρήνη γάρ. Ἑρ. Ἄμεινον οὕτως, εἰ καὶ ἡμῖν παραπέπτωκε τοῦ σοῦ τὸ ὄφλημα. πλὴν ἀλλ'

οἱ μὲν

οἱ μὲν παλαιοὶ, ὦ Χάρων, οἶδα οἷοι παρεγίνοντο; ἀνδρεῖοι ἅπαντες, αἵματος ἀνάπλεω, καὶ τραυμάτων οἱ πολλοί· νῦν δὲ ἢ φαρμάκῳ τις ὑπὸ τοῦ παιδὸς ἀποθανὼν, ἢ ὑπὸ τῆς γυναικὸς, ἢ ὑπὸ τρυφῆς ἐξωδηκὼς ἥκει καὶ τὰ σκέλη. ὠχροὶ γὰρ ἅπαντες, καὶ ἀγλυνεῖς, οὐδὲ ὅμοιοι ἐκείνοις. οἱ δὲ πλεῖστοι αὐτῶν δι' ἀρρήματα ἥκουσιν, ὅτι βουλεύονται ἀλλήλοις, ὡς ἔοικασι. Χ. Πάνυ γὰρ ὠφελοῦνται ὅτι ταῦτα. Ἑρ. Οὐκοῦν οὐδὲ ἐγὼ δόξαιμι ἂν ἁμαρτάνειν, πικρῶς ἅπαντων τὰ ὀφειλόμενα ἀπολαβὼν σοῦ.

ΓΛΑΥΚΩΝΟΣ ΚΑΙ ΕΡΜΟΥ ΔΙΑΛΟΓΟΣ.

Γλ. Τὸν γέροντα οἶδα; τὸν πάνυ γεγηραϰότα λέγω, τὸν πλούσιον Εὐκράτη, ᾧ παῖδες μὲν οὐκ εἰσὶν, οἱ τὸν κλῆρον ἂν φθορῶντες, πεντακισμύριοι. Ἑρ. Ναὶ τὸν Σικυώνιον φῄς. πόσου; Γλ. Ἐκεῖνον μὲν ὦ Ἑρμῆ ζῆν ἔασον, ὅτι τοῖς ἐννενήκοντα ἔτεσιν, ἃ βεβίωκεν, ὅτι μετρήσας ἄλλα τοσαῦτα, εἴγε οἷόντε ἰῶ, καὶ ἐπὶ πλείω. τοὺς δέ γε κόλακας αὐτοῦ, Χαιρέαν τὸν νέον, καὶ Δάμωνα, καὶ τοὺς ἄλλους κατάπασον ἐφεξῆς ἅπαντας. Ἑρ. Ἅπτου ἂν δόξειε τοιοῦτον. Γλ. Οὔμοιμαι, ἀλλὰ δικαιότατον. πῶς γὰρ ἐκεῖνοι παθόντες οὐχὶ ἀποθανεῖν ἐκεῖνον; ἢ τῶν χρημάτων αὐτοποιοῦνται, οὐδὲν πεισόμενοι; ὃ δὲ πάντων ὅτι μαιρώτατον, ὅπου καὶ τοιαῦτα βουλόμενοι, ὅμως θεραπεύουσιν ἐν γε τῷ φανερῷ· καὶ νοσοῦντος, ἂν μὲν βουλεύωνται, πᾶσι πρόδηλα, θύειν δὲ ὅμως ὑπισχνοῦνται, ἰῶ ῥαΐδιον. καὶ ὅλως, ποικίλη τις ἡ κολακεία τῶν ἀνδρῶν. διὰ ταῦτα ὁ μὲν ἔσω ἀθάνατος· οἱ δὲ πρεσβύτεροι ἀπολοῦνται, μάτην ὀφειλόντες. Ἑρ. Γελοῖα πείσονται, πανοῦργοι ὄντες. πολλὰ καὶ ἐκεῖνος δῆμα λαβοὺ κολεῖ αὐτοῖς, καὶ ἐπελπίζει· καὶ ὅλως, ἀεὶ θανόντι ἔοικως, ἔρρωται πολὺ μᾶλλον τῶν νέων· οἱ δὲ, ἤδη τὸν κλῆρον ἐν σφίσι διῃρημένοι, βόσκονται, ζωλῶ μακαρίαν τὴν

ἑαυτοὺς ἀθέντες. Γλ. Οὐκοῦν ὁμῶς ἀποδυσάμενος τὸ γῆρας, ὥσπερ Ἰόλεως, ἀνηβήσεται. οἱ δὲ ἀπὸ μέσων τῶν ἐλπίδων τὸν ὀνειροπολημένα πλοῦτον ἀπολιπόντες, ἥκετωσαν ἤδη κακοὶ κακῶς ἀποθανόντες. Ἑρ. Ἀμέλησον ὦ Πλούτων. μεταλήψομαι γάρ σοι ἤδη αὐτοὺς καθ' ἕνα ἑξῆς. ἐπὰ ἴ, οἶμαι, εἶσί. Πλ. Καταπαῦσαι. ὁ δὲ ὦδε πέμψει ἕκαστον, αὖθις σοφηθεὶς γηρόμενος.

ΖΗΝΟΦΑΝΤΟΥΣ ΚΑΙ ΚΑΛΛΙΔΗΜΙΔΟΥ ΔΙΑΛΟΓΟΣ.

Ζ. Σὺ δ' ὦ Καλλιδημίδη πῶς ἀπέθανες; ἐγὼ μὲν γὰρ ὅπως ἀφάσιτος ὢν Δεινίου, πλέον τι ἱκανὸς ἐμφαγὼν, ἀπεπνίγην, οἶδα. παρὴς γὰρ ἀποθνήσκοντί μοι. Κ. Παρλῶ, ὦ Ζηνόφαντες. τὸ δὲ ἐμὸν, ὦδάδεξόν τι ἐγένετο· οἶδα γὰρ καὶ σὺ τὸν Πτοιόδωρον τὸν γέροντα. Ζ. Τὸν ἄπιστον, τὸν πλούσιον, ᾧ σε τὰ πολλὰ ἤδειν σιτοῦντα; Κ. Ἐκεῖνον αὐτὸν ἀεὶ ἐθεράπευον, ὑπερηφυόμενος ἐπ' ἐμοὶ κληρονόμῳ τεθνήξεσθαι· ἐπεὶ δὲ τὸ πρᾶγμα ἐς μῆκιστον ἐπεγίνετο, καὶ ὑπὲρ τὸν Τιθωνὸν ὁ γέρων ἔζη, ὀπτόμενόν τινα εἶδον ὀπὸ τὸν κλῆρον ἐξοδίου. φαρμάκου γὰρ φάρμακον, αἰτέπεισα τὸν οἰνοχόον, ἐπειδὰν τάχιστα ὁ Πτοιόδωρος αἰτήσῃ πιεῖν (πίνει δ' ὀπεικῶς) χωρότερον ἐμβαλόντα ἐς κύλικα, ἕτοιμον ἔχειν αὐτὸ, καὶ ὀπδοῦναι αὐτῷ. εἰ δὲ τοῦτο ποιήσει, ἐλεύθερον ἐπωμοσάμην ἀφήσειν αὐτόν. Ζ. Τί οὖν ἐγένετο; πάνυ γάρ τι ὦδάδεξον ἐρεῖν ἔοικας. Κ. Ἐπεὶ δεῖπνου λουσάμενοι ἦκομεν, δύο ἤδη ὁ μειρακίσκος κύλικας ἑτοίμους ἔχων, τὴν μὲν τῷ Πτοιοδώρῳ, τὴν ἔχουσαν τὸ φάρμακον, τὴν δ' ἑτέραν, ἐμοί· σφαλεὶς οὐκ οἶδ' ὅπως, ἐμοὶ μὲν τὸ φάρμακον, Πτοιοδώρῳ δὲ τὸ ἀφάρμακτον ἐπέδωκεν. ἔπιε ὁ μὲν ἔπινεν, ἐγὼ δὲ αὐτίκα μάλα ἐκπάλαι ἐκείνῳ, ὑποβόλιμαῖος αὐτ' ἐκείνου νεκρός. τί τοῦτο γελᾷς ὦ Ζηνόφαντες; καὶ μὰ οὐκ ἔδειγε ἑταίρῳ αὐθρὶ ὀπιγελᾶν. Ζ.

Ἀξεῖα γὰ ὦ Κνημιδημίδη πέπονθας. ὁ γέρων ἦ, ἢ πρὸς ταῦτα; Κ. Πρῶτον μὲν ἐπαρεσχόμην πρὸς τὸ αἰφνίδιον· εἶτα σιωπᾷς, οἶμαι, τὸ γεγυμνασμένον, ἐγέλα καὶ αὐτὸς οἷά γε ὁ οἰνοχόος ἐργασας. Ζ. Πλὴν ἀλλ' οὐδέ σε τὸν ὄπιθεν ἐχθὸν τραπέσθαι. ἦκε γὰρ αἴ τοι διὰ τῆς λεωφόρου ἀσφαλέστερον, εἰ καὶ ὀλίγῳ βραδύτερος ἰών.

ΚΝΗΜΩΝΟΣ ΚΑΙ ΔΑΜΝΙΠΠΟΥ ΔΙΑΛΟΓΟΣ.

Κν. Τοῦτο ἐκεῖνο τὸ τῆς παροιμίας, ὁ νεβρὸς τὸν λέοντα. Δ. Τί ἀγανακτεῖς ὦ Κνήμων; Κν. Πῶς δ' οὐ μή, ἢ ἀγανακτῶ; κληρονόμον ἀκούσιος καταλέλοιπα, καταστρεφθεὶς ὁ ἄθλιος, οὓς ἐβουλόμην αἰ μάλιστα ἔχειν τἀμά, παραλιπών. Δ. Πῶς τοῦτ' ἐχρῆν; Κν. Ἑρμόλαον τὸν πάνυ πλούσιον ἄπαιδα ὄντα ἐθεράπευον ὅπως θανάτῳ· κἀκεῖνος οὐκ ἀηδῶς τὴν θεραπείαν προσίετο. ἔδοξε δή μοι καὶ σοφὸν τοῦτ' εἶναι, θέσθαι διαθήκας ἐς τὸ φανερόν, ἐν αἷς ἐκείνῳ καταλέλοιπα τἀμὰ πάντα· ὡς κἀκεῖνος ζηλώσειε, κἀγὼ τὰ αὐτὰ πράξειε. Δ. Τί οὖν δὴ ἐκεῖνος; Κν. Ὅ, τι μὲν οὖν αὐτὸς ἐνέγραψε ταῖς ἑαυτοῦ διαθήκαις οὐκ οἶδα· ἐγὼ γοῦν ἄφνω ἀπέθανον, τὸ πέρας μοι ὄπισθεν. καὶ νῦν Ἑρμόλαος ἔχει τἀμά, ὥσπερ οἱ λάβραξ καὶ τὸ ἄγκιστρον τῷ δελέατι συγκαταπάσας. Δ. Οὐ μόνον, ἀλλὰ καὶ αὐτὸν σε τὸν ἁλιέα. ὥστε σόφισμα κατ' σαυτοῦ συντέθηκας. Κν. Ἔοικα. οἰμώζω δικαίως.

ΣΙΜΥΛΟΥ ΚΑΙ ΠΟΛΥΣΤΡΑΤΟΥ ΔΙΑΛΟΓΟΣ.

Σ. Ἦκεις ποτὲ ὦ Πολύστρατε καὶ σὺ παρ' ἡμᾶς, ἔτη, οἶμαι; οὐ πολὺ ἀποδέοντα τῶν ἑκατὸν βεβιωκώς. Γ. Ὀκτὼ

ὀπὶ τῖς ἐννενήκοντα, ὦ Σίμωλε. Τ. Γ῾ὡς δὲ τὰ μετ' ἐμὲ ζῶντ' ἐβίως τειάκοντα; ἐγὼ γὰρ ἀμφὶ τὰ ἑβδομήκοντα σοῦ ὄντος ἀπέθανον. Π. Υ῾φρήδισα· εἰ καί σοι ὠδάδοξον τῦτο δόξει. Σ. Παραδόξον, εἰ γέρων τε καὶ ἀθενὴς, ἄτεκνός τε ὢν σοφὸν, ἥδεως τῖς ἐν τῷ βίῳ ἐδωάσω. Γ. Τὸ μὲ ὢν σοφὸν, ἅπαντα ἐδωάμην. ἔτι καὶ παῖδες ὡραῖοι ἦσαν πολλοὶ, καὶ γυναῖκες ἀβρόταται, καὶ μύρα, καὶ οἶνος αὐθομίας, καὶ τράπεζαι ὑπὲρ τὰς ἐν Σικελίᾳ. Σ. Καινὰ ζῶντα. ἐγὼ γὰρ σε πάνυ φειδόμενον ἠπιστάμην. Π. Ἀλλ' ὑπέρρει μοι ὦ γλυκύτατε παρ' ἄλλων τἀγαθά. καὶ ἔωθεν μὲν ἄνθρωποι ὀπὶ θύρας ἐφοίτων μάλα πολλοί· μετὰ δὲ, παντοῖά μοι δῶρα ὠθοῦντο, ἅπαντα χόθεν τῆς γῆς κάλλιστα. Σ. Ἐτυραννήσας ὦ Πολύστρατε μετ' ἐμέ; Γ. Οὔκ· ἀλλ' ἑκατὸν εἶχον μυρίους. Σ. Ἐγέλασα. ἑκατὸν σὺ πλείονῦς ὤν; ὀδόντας τέτταρας ἔχων; Π. Νὴ Δία τῖς ἀείσους γε τῶν ἐν τῇ πόλει. καὶ γέροντά με, καὶ φαλακρὸν, ὡς ὁρᾷς, ὄντα, καὶ λημῶντα σφόδρα καὶ κορυζῶντα, ὑπερήδοντο θεραπεύοντες· καὶ μακάριος ἐν αὐτῶν ὄνειρα ἂν καὶ μόνον σφόδρα ἔβλεφα. Σ. Μῶν καὶ σύ γε, ὥσπερ ὁ Φάων τὴν Ἀφροδίτην, ἐκ Χίου διεπόρθμευσας; εἶτά σοι ὀξαμύνῳ ἔδοκε νέον εἶ), καὶ καλὸν ἐξ ὑπαρχῆς, καὶ ἀξιέρασον; Π. Οὔκ· ἀλλὰ τοιοῦτος ὢν, σφόδρα ἐπόθητος ἦν. Σ. Αἰνίγματα λέγῃς. Γ. Καὶ μὴν σφόδρα γε ὁ ἔρως οὗτος πολὺς ὢν, ὁ σφόδρα τῖς ἀτέκνους καὶ πλουσίους γέροντας. Σ. Νῦν μανθάνω σου τὸ κάλλος ὦ θαυμάσιε, ὅτι σφόδρα τῆς χρυσῆς Ἀφροδίτης ἦν. Π. Ἀπάρ, ὦ Σίμωλε, οὐκ ὀλίγα τῶν ἐρασῶν ἀπολέλαυκα, μονονουχὶ σφοκνωύμενος ὑπ' αὐτῶν. καὶ ἐθρυπτόμην ἤ πολλάκις, καὶ ἀπέκλειον αὐτῶν ἐνίοτε. οἱ δὲ ἠμείβοντο, καὶ ὀμήλους ὑπεβάλλοντο ἐν τῇ περὶ ἐμὲ φιλοτιμίᾳ. Σ. Τέλος δ' οὖν πῶς ἐβουλεύσω περὶ τῶν κτημάτων; Π. Ἐς τὸ φανερὸν μὲν ἕκαστον αὐτῶν κληρονόμον ἀπολιπεῖν ἔφασκον· ὁ δ' ὀπίσευέ τε, καὶ κολακευτικώτερον παρεσκεύαζεν ἑαυτόν. ἄλλας ἤ τὰς ἀληθῖς δέ-

θήκας ἐκείνας ἔχων, κατέλιπον, οἰμώζειν ἅπασι φράσας. Σ. Τίνα δ' αἱ τελευταῖαι τὸν κληρονόμον ἔχον; ἦπου γυνὰ τῶν ἀπὸ τοῦ γήρους; Π. Οὐ μὰ Δί', ἀλλὰ νεωνήπιόν τινα τῶν μειρακίων τῶν ὡραίων Φρύγα. Σ. Ἀμφὶ πόσα ἔτη, ὦ Πολύστρατε; Γ. Σχεδὸν ἀμφὶ τὰ εἴκοσι. Σ. Ἤδη μανθάνω ἅπαντά σοι ἐκεῖνος ἐκαείζετο. Γ. Γλιὼ ἐμὰ πολὺ ἐκείνων ἀξιώτερος κληρονομεῖν, εἰ καὶ βάρβαρος εἰμι, καὶ ὄλεθρος· οἳ γὰρ δὴ καὶ αὐτοὶ οἱ ἄριστοι θεραπεύουσιν. ἐκεῖνος πίνων ἐκληρονόμησέ μου· καὶ νυνὶ ἐπὶ τοῖς ἀστακείδαις ἀριθμεῖται, ἐγὼ ἐξυρημένος μὲν τὸ γήρειον, καὶ βαρβαρίζων, κόσσου δ' ἀγλωττότερος, καὶ Νιρέως καλλίων, καὶ Ὀδυσσέως σωφρονέστερος λέγομαι δή). Σ. Οὔ μοι μέλει. καὶ στρατηγησάτω τῆς Ἑλλάδος, εἰ δοκεῖ· ἐκεῖνοι δὲ μὴ κληρονομείτωσαν μόνον.

ΚΡΑΤΗΤΟΣ ΚΑΙ ΔΙΟΓΕΝΟΥΣ ΔΙΑΛΟΓΟΣ.

Κρ. Μοιέριχον τὸν πλούσιον ἐγίνωσκες ὦ Διόγλυες; τὸν πάνυ πλούσιον, τὸν ἐκ Κοιλίνθου, τὸν ταῖς πολλαῖς ὀλκάσι ἔχοντα; οὐ Λιψιὸς Λεισίας, πλούσιος καὶ αὐτὸς ὤν; τὸ Ὀμηρικὸν ἐκεῖνο εἰώθει δπιλέγειν, Ἦ μ' αἰάειρ', ἢ ἐγώ σε. Δ. Τίνος ἕνεκα, ὦ Κράτης, ἐθεράπευον ἀμήλους; Κρ. Τοῦ κλήρου ἕνεκα ἕκαστος, ἠλικιῶται ὄντες· καὶ τὰς διαθήκας ἐς τὸ φανερὸν ἐτίθεντο. Λεισέαν μὲν ὁ Μοιέριχος, εἰ θεραπεύοι, δεκάτῳ ἀφιεὶς τῶν ἑαυτοῦ πάντων· Μοιέριχον δὲ ὁ Λεισέας, εἰ θεραπεύοι αὐτόν. ταῦτα μὲν ἐγέγραπτο· οἱ δὲ ἐθεράπευον ἀμήλεις, ἐσφοδρούμενοι τῇ κολακείᾳ. καὶ οἱ μαῖτες, εἴτε ἀπὸ τῶν ἄστρων τεκμαιρόμενοι τὸ μέλλον, εἴτε ἀπὸ τῶν ὀνειράτων, ὥς γε Χαλδαίων παῖδες, ἀμφὶ δὲ ὁ Πύθιος αὐτὸς ἅρπ μὲν Λεισέᾳ παρεῖχε τὸ κράτος, ἅρπ δὲ Μοιέριχῳ· καὶ τὰ τάλαντα ποτὲ μὲν ὅπη τοῦτον, νυνὶ δ' ἐπ' ἐκεῖνον ἔρρεπε. Δ. Τί οὖν πέρας ἐγένετο, ὦ Κρά-

της; ἀκούσαι γὰρ ἄξιον. Κρ. Ἄμφω πεπαῦσιν ὅπλα μιᾶς ἡμέρας· οἱ δὲ κλῆροι ἐς Εὐνόμου καὶ Θρασυκλέα ἐλθεῖν, ἄμφω συγγενεῖς ὄντας, οὐδὲ πώποτε ἐφιλαιτευομένους οὕτω γενέσθαι ταῦτα. διαπλέοντες γὰρ ἀπὸ Σικυῶνος ἐς Κίρραν, κατὰ μέσον τὸν πόρον πλαγίῳ ἐμπεσόντες τῷ ἰκρίῳ ἀνέτρεψαν. Δ. Εὖ ἐποίησαν. ἡμεῖς δὲ, ὁπότε ἐν τῷ βίῳ ἦμεν, οὐδὲν τοιοῦτον ἐνενοοῦμεν ἐλλ' ἀμήλων. οὔτε πώποτε ἠξιώσαμεν Ἀνδαδένην ἀποθανεῖν, ὡς κληρονομήσαι με τῆς βακτηρίας αὐτοῦ· (εἶχεν δὲ πάνυ καρτερὰν, ἐκ κοπίνου ποιησάμενος) οὔτε, οἶμαι, σὺ ὦ Κράτης ἐπεθύμεις κληρονομεῖν ἀποθανόντος ἐμοῦ τὰ κτήματα, ἢ τὸν πίθον, καὶ τὼ πήρα, χοίνικας δύο θέρμων ἔχουσαν. Κρ. Οὐδὲν θέρμοι τούτων ἔδει. ἀλλ' οὐδέ σοι ὦ Διόγμες. ἃ γὰρ ἐκείνου τε Ἀνδαδένους ἐκληρονόμησας, καὶ ἐμοῦ σοῦ, πολλῷ μείζω καὶ σεμνότερα τῆς Περσῶν ἀρχῆς. Δ. Τίνα ταῦτα φῄς; Κρ. Σοφίαν, αὐτάρκειαν, ἀλήθειαν, παῤῥησίαν, ἐλευθερίαν. Δ. Νὴ Δία μέμνημαι τὸν διαδεξάμενος τὸν πλοῦτον παρ' Ἀνδαδένους, καὶ σοὶ ἔτι πλείω καταλιπών. Κρ. Ἀλλ' οἱ ἄλλοι ἠμέλουν τῶν τοιούτων κτημάτων· καὶ οὐδεὶς ἐθεράπευεν ἡμᾶς, κληρονομήσειν προσδοκῶν· ἐς δὲ τὸ χρυσίον πάντες ἔβλεπον. Δ. Εἰκότως. οὐ γὰρ εἶχον ἔνθα δέξαιντο τὰ τοιαῦτα παρ' ἡμῶν, διῤῥυηκότες ὑπὸ τρυφῆς, καθάπερ τὰ σαθρὰ τῶν βαλαντίων. ὥστε εἴποτε καὶ ἐμβάλοι τις ἐς αὐτοὺς ἢ σοφίαν, ἢ παῤῥησίαν, ἢ ἀλήθειαν, ἐξέπιπτεν ἀθρόως, καὶ διέῤῥει, τὸ πυθμένος στέγειν οὐ δυναμένου· (οἷόν τι πάσχουσιν αἱ τοῦ Δαναοῦ αὐταὶ παρθένοι, ἐς τὸν τετρυπημένον πίθον ἐπαντλοῦσαι) τὸ δὲ χρυσίον ὁδοῦσι καὶ ὄνυξι καὶ πάσῃ μηχανῇ ἐφύλαττον. Κρ. Οὐκοῦν ἡμεῖς μὲν ἔχομεν καὶ ταῦτα τὸν πλοῦτον· οἱ δὲ ὀβολὸν οὐκ ἔχουσι κομίζοντες, καὶ τὸν ἄχρι τοῦ παρόντος.

ΔΙΟΓΕΝΟΥΣ ΚΑΙ ΑΛΕΞΑΝΔΡΟΥ ΔΙΑΛΟΓΟΣ.

Δ. Τί τῦτο, ὦ Ἀλέξανδρε; καὶ σὺ τέθνηκας, ὡς ἡμεῖς ἅπαντες; Α. Ὁρᾷς, ὦ Διόγνες. οὐ μὲν δὲ δίξον δὲ εἰ ἄνθρωπος ὢν ἀπέθανον. Δ. Οὐκοῦν ὁ Ἄμμων ἐψεύδετο, λέγων ἑαυτὸν εἶναι υἱόν. σὺ δὲ Φιλίππου ἆρα ἦσθα; Α. Φιλίππου δηλαδή. οὐ γὰρ ἂν ἐτεθνήκειν Ἄμμωνος ὤν. Δ. Καὶ μὴν καὶ περὶ τῆς Ὀλυμπιάδος ὁμοια ἐλέγοντο, δράκοντα ὁμιλεῖν αὐτῇ, καὶ βλέπεσθαι ἐν τῇ εὐνῇ, εἶτα οὕτω σε τεκθῆναι. τὸν γὰρ Φίλιππον ἐξηπατῆσθαι, οἰόμενον πατέρα σου εἶναι. Ἀλ. Κἀγὼ ταῦτα ἤκουον ὥσπερ σύ· νυνὶ μὲν ὁρῶ ὅτι οὐδὲν ὑγιὲς οὔτε ἡ μήτηρ, οὔτε οἱ τῶν Ἀμμωνίων προφῆται ἔλεγον. Δ. Ἀλλὰ τὸ ψεῦδος αὐτῶν, οὐκ ἄχθεσθόν σοι ὦ Ἀλέξανδρε πρὸς τὰ παράγματα ἐγίνετο. πολλοὶ γὰρ ἂν ἐπῄνεσαν, θεὸν εἶναί σε νομίζοντες. ἀτὰρ εἰπέ μοι, τίνι τῶν τοσούτων ἀρχῶν κατελέλοιπας; Ἀλ. Οὐκ οἶδα, ὦ Διόγνες. οὐ γὰρ ἔφθασα διαθέσθαί τι περὶ αὐτῆς· ἢ τοῦτο μόνον, ὅτι ἀποθνήσκων Περδίκκᾳ τὸν δακτύλιον ἐπέδωκα. πλὴν ἀλλὰ τί γελᾷς ὦ Διόγνες; Δ. Τί γὰρ ἄλλο, ἢ ἀνεμνήσθην οἷα ἐποίει ἡ Ἑλλάς, ἅτε σε παρειληφότα τὴν ἀρχὴν κολακεύοντες, καὶ περιστάτην αἱρούμενοι, καὶ γραπτὸν ὅπως τοῖς βαρβάροις; ἔνιοι δὲ καὶ τοῖς δώδεκα θεοῖς παρισθέντες, καὶ νεὼς οἰκοδομούμενοι, καὶ θύοντες ὡς δράκοντος υἱῷ; ἀλλ' εἰπέ μοι, ποῦ σε οἱ Μακεδόνες ἔθαψαν; Ἀλ. Ἐν Βαβυλῶνι κεῖμαι τρίτην ταύτην ἡμέραν. ὑπεσχέθη δὲ Πτολεμαῖος ὁ ὑπασπιστὴς, ἐπειδάν ποτε ἀπαγάγῃ τὴν στρατιὰν ἀπὸ τῶν Σουσίων τῶν ἐνταῦθα, εἰς Αἴγυπτον ἀπαγαγόν με, θάψειν ἐκεῖ· ὡς γοῦν ἐμοὶ ἔδοξε τῶν Αἰγυπτίων θεῶν. Δ. Μὴ γελάσω ὦ Ἀλέξανδρε, ὁρῶν σὲ ἄδου ἐπὶ σωφρονοῦντα, καὶ ἐλπίζοντα ἄνουσιν ἢ ὄπισθεν γενέσθαι; πλὴν ἀλλὰ ταῦτα μέν, ὦ πάτερ, μὴ ἐλπίσῃς. οὐ γὰρ θέμις ἀνελθεῖν ἔνα

τ' ἅπαξ διαπλυσαίτων τὴν λίμνην, καὶ ἐς τὸ ἔσω τῆς σωμίου παρελθόντων. οὐ γὰρ ἀμελὴς ὁ Αἰακὸς, οὐδὲ ὁ Κέρβερος ἀκαταφρόνητος. ἐκεῖνα δὲ ἡδέως ἂν μάθοιμι παρὰ σοῦ, πῶς φέρεις ὁπόταν αὖ ἐννοήσῃς ὅσην εὐδαιμονίαν ὑπὲρ γῆς ἀπολιπὼν ἀφῖξαι, σωματοφύλακας καὶ ὑπασπιστὰς, καὶ σατράπας, καὶ χρυσὸν τοσοῦτον, ἐξ ἔτη περισκυνούμενα, ἢν Βαβυλῶνα ἐξ Βάκτρα, ἐξ τὰ μεγάλα θηρία, καὶ ἅμιλλαι καὶ δόξαι· καὶ τὸ ὀπίσημον εἰ ἐλαύνοντα, διαδεδεμένον ταινίᾳ λευκῇ τὴν κεφαλὴν, πορφυρίδα ἐμπεπορπημένον. οὐ λυπεῖ ταῦτά σε ἐνθυμούμενον ἰόντα; τί δὲ κρύεις ὠμάτας; οὐδὲ ταῦτά σε ὁ σοφὸς Ἀριστοτέλης ἐπαίδευσε; μὴ οἴεσθαι βέβαια εἶ τὰ παρὰ τῆς τύχης; Α. Σοφὸς, ἁπάντων ἐκεῖνος κολάκων ὀπιθειπότατος ὤν; ἐμὲ μόνον ἔασον τὰ Ἀριστοτέλους εἰδέναι ὅσα μὴ ἤπιστο παρ' ἐμοῦ, οἷα ἢ ἐπίστιλλεν· ὡς δὲ κατεχρῆτό μου τῇ περὶ παιδείαν φιλοπμίᾳ, θωπεύων, καὶ ἐπαινῶν, ἅρπ μὲν ἐς τὸ κάλλος (ὡς ἐξ τοῦτο μέρος ὂν ἀγαθοῦ) ἅρπ δ' ἐς τὰς περιουσίας, ἐξ τὸ πλοῦτον. καὶ γὰρ αὖ ἐξ τοῦτ' ἀγαθὸν ἡγεῖτ' εἶ), ὡς μὴ αἰσχύνοιτο καὶ αὐτὸς λαμβάνων. γόης, ὦ Διόγμιες ἄνθρωπος, καὶ τεχνίτης· πλὴν ἀλλὰ τοῦτό γε ἀπολέλαυκα ἀπὸ τῆς σοφίας, τὸ λυπεῖσθαι ὡς ὀπὶ μείζοσιν ἀγαθοῖς, ἃ κατειθμήσω μικρῷ γε ἔμπροσθεν. Δ. Ἀλλ' οἶδα ὃ δράσεις; ἄκος γάρ σοι τῆς λύπης ὑποθήσομαι. ἐπὶ ἐνταῦθά γε ἑλλέβορος οὐ φύεται, σὺ δὲ κἂν τὸ Λήθης ὕδωρ χανδὸν ὀπαυάσαμενος πίε, καὶ αὖθις πίε, καὶ πολλάκις. οὕτω γὰρ ἂν παύσῃ ἐπὶ τοῖς Ἀριστοτέλους ἀγαθοῖς αὐιώμενος. καὶ γὰρ ἐξ Κλεῖτον ἐκεῖνον ὁρῶ, καὶ Καλλισθένη, καὶ ἄλλους πολλοὺς ὀπί σε ὁρμῶντας, ὡς διαπάσαιντο, καὶ ἀμυάιντό σε ὧν ἔδρασας αὐτούς. ὥσπερ τὴν ἐτέραν σὺ ταύτην βάδιζε· καὶ πῖνε πολλάκις, ὡς ἔφην.

ΑΛΕΞΑΝΔΡΟΥ ΚΑΙ ΦΙΛΙΠΠΟΥ ΔΙΑΛΟΓΟΣ.

Α. Νῶν μὲν ὦ Ἀλέξανδρε, οὐκ αἰ ἔξαρνος γένοιο μὴ οὐκ ἐμὸς υἱὸς εἶναι. οὐ γὰρ αἰ ἐπεθήκεις, Ἄμμωνός γε ὤν. Α. Οὐδὲ αὐτὸς ἠγούμην, ὦ πάτερ, ὡς Φιλίππου τοῦ Ἀμύντου υἱός εἰμι, ἀλλ' ἐδεξάμην τὸ μάντευμα, ὡς χρήσιμον ἐς τὰ πράγματα οἰόμενος εἶναι. Φ. Πῶς λέγεις; χρήσιμον ἐδόκει σοι, τὸ παρέχειν σαυτὸν ἐξαπατηθησόμενον ὑπὸ τῶν ψευδομάντεων; Α. Οὐ τῦπο. ἀλλ' οἱ βάρβαροι κατεπλάγησάν με, καὶ οὐδεὶς ἔπ αὐθίσατο, οἰόμενοι θεῷ μάχεσθαι. ὥστε ῥᾷον ἐκράτησα αὐτῶν. Φ. Τίνων ἐκράτησας σύ γε ἀξιομάχων ἀνδρῶν, ὃς δειλοῖς ἀεὶ συνὼν ἐχθὴς, ξύλα καὶ πέλτας καὶ γέρρα οἰσύϊνα πεπεδημένοις; Ἕλλήνων κρατεῖν ἔργον ἦν, Βοιωτῶν καὶ Φωκέων καὶ Ἀθηναίων· καὶ τὸ Ἀρκάδων ὁπλιτικὸν, καὶ τὴν Θετταλὴν ἵππον, καὶ τοὺς Ἠλείων ἀκοντιστὰς, καὶ τὸ Μαντινέων πελτασικὸν, ἢ Θρᾷκας, ἢ Ἰλλυριοὺς, ἢ καὶ Παίονας χρήσασθαι. ταῦτα μεγάλα· Μήδων ἢ καὶ Περσῶν καὶ Χαλδαίων, καὶ χρυσοφόρων ἀνθρώπων καὶ ἀβρῶν, οὐκ οἶδα ὡς πρὸς σοὶ μύριοι μετὰ Κλεάρχου ἀνελθόντες ἐκράτησαν; οὐδὲ εἰς χεῖρας ἐλθεῖν αὐτῶν ἐλθεῖν ἐκείνων, ἀλλὰ πρὶν ἢ πόθυμα ἐξικνεῖσθαι, φυγόντων; Α. Ἀλλ' οἱ Σκύθαι γε, ὦ πάτερ, καὶ οἱ Ἰνδῶν ἐλέφαντες, οὐκ ἄλλο καταφρόνητόν τι ἔργον. καὶ ὅμως οὐ δεξάσθαι αὐτοὺς, οὐδὲ προσδοσίαις ἀνούμενος τὰς νίκας, ἐκράτησα αὐτῶν· οὐδὲ ὑπώρκησα πώποτε, ἢ ὑπομόσας ἐψευσάμην, ἢ ἄπιστον ἔπραξά τι τῆς νίκης ἕνεκα. καὶ τοὺς Ἕλληνας δὲ, τοὺς μὲν αἰχμῇ παρέλαβον, Θηβαίους δὲ ἴσως ἀκούεις ὅπως μετῆλθον. Φ. Οἶδα ταῦτα πάντα. Κλεῖτος γὰρ ἀπήγγειλέ μοι, ὃν σὺ τῷ δορατίῳ διελάσας μεταξὺ δειπνοῦντα, ἐφόνευσας, ὅτι σε πρὸς τὰς σὰς πράξεις ἐπῃνέσας ἐπόλμησε. σὺ δὲ καὶ τὴν Μακεδονικὴν χλαμύδα καταβαλὼν, καὶ δύσας, ὥς φασι, μηδικὴν, καὶ τιάραν

ορθὴν ἐπῆγον, καὶ προσκυνεῖσθαι ὑπὸ Μακεδόνων, ὑπ' ἐλευθέρων ἀνδρῶν, ἀξίους· καὶ, τὸ πάντων γελοιότατον, ἐμίμουν τὰ τῶν νενικημένων. ἐὼ γὰρ λέγειν ὅσα ἄλλα ἔπραξας, λέουσι συγκαθεύδειν πεπαιδευμένους ἄνδρας, καὶ γάμους τοιούτους γαμῶν, καὶ Ἡφαιστίωνα ὑφαγαπῶν. ἓν ἐπῄνεσα μόνον ἀκούσας, ὅτι ἀπέχου τῆς τοῦ Δαρείου γυναικὸς καλῆς οὔσης, καὶ τῆς μητρὸς αὐτῆ καὶ τῶν θυγατέρων ἐπεμελήθης. βασιλικὰ γὰρ ταῦτα. Ἀλ. Τὸ φιλοκίνδυνον δὲ, ὦ πάτερ οὐκ ἐπαινεῖς; καὶ τὸ ἐν Ὀξυδράκαις πρῶτον καθάλασθαι εἰς τὸ ἐντὸς τοῦ τείχους, καὶ τοσαῦτα λαβεῖν τραύματα; Φ. Οὐκ ἐπαινῶ τοῦτο ὦ Ἀλεξανδρε· οὐ χ ὅτι μὴ καλὸν εἶναι οἶμαι καὶ ὑπερώτικεσθαι ποτὲ τὸν βασιλέα, καὶ προκινδυνεύειν τοῦ στρατοῦ· ἀλλ' ὅτι σοι τοιοῦτο ἦκεσα συμφέρει. θεὸς γὰρ εἶναι δοκῶν, εἶπότε προθείης, καὶ βλέποιέν σε φοβούμενον τὸν πολέμου ἐκκομιζόμενον, αἱμαπρεόμενον, οἰμώζοντα ὑπὸ τῶν τραυμάτων, ταῦτα γέλως ἂν τοῖς ὁρῶσι· καὶ ὁ Ἄμμων, γόης καὶ ψευδόμαντις ἠλέγχετο, καὶ οἱ σοφῆται, κόλακες. ἢ πῶς οὐκ ἂν ἐγέλασεν, ὁρῶν τὸν τοῦ Διὸς υἱὸν λειποψυχοῦντα, δεόμενον τῶν ἰατρῶν βοηθεῖν; νοῦν μὲν γὰρ ὁπότε ἤδη τεθνηκάς, οὐκ οἴει πολλοὺς εἶναι τοὺς τὸν ποιήσειν ἐκείνῳ ὑπερτομοῦντας; ὁρῶντας τὸν νεκρὸν τοῦ θεοῦ ἐκτάδην κείμενον, μυδῶντα ἤδη καὶ ἐξῳδηκότα, καὶ νόμον σωμάτων ἁπάντων; ἄλλως τε καὶ τὸ χρήσιμον ὃ ἔφης Ἀλέξανδρε, τὸ δῆθεν τοῦτο κρατεῖν ῥᾳδίως, πολύ σε τῆς δόξης ἀφῃρεῖτο τῶν καταρθουμένων. πᾶν γὰρ ἐδόκει ἀνδρὸς, ὑπὸ θεοῦ γίνεσθαι δοκοῦν. Ἀλ. Οὐ ταῦτα φρονοῦσιν οἱ ἄνθρωποι περὶ ἐμοῦ, ἀλλ' Ἡρακλεῖ καὶ Διονύσῳ ἐναμιλλᾶσθαί με· καίτοι τὸν Κόρυνον ἐκεῖνον οὔθ' ἕτερος ἐκείνων λαβόντος, ἐγὼ μόνος ἐχειρωσάμην. Φ. Ὁρᾷς ὅτι ταῦτα ὡς υἱὸς Ἄμμωνος λέγεις, ὃς Ἡρακλεῖ καὶ Διονύσῳ παραβάλλεις σαυτόν; καὶ οὐκ αἰσχυνῇ ὦ Ἀλέξανδρε, οὐδὲ τὸν τύφον ἀπομαθήσῃ, καὶ γνώσῃ σαυτὸν, καὶ σωτῆς ἤδη νεκρὸς ὤν;

ΑΝΤΙΛΟΧΟΥ ΚΑΙ ΑΧΙΛΛΕΩΣ ΔΙΑΛΟΓΟΣ.

Ἀντ. Οἷα περὶ σοῦ Ἀχιλλεῦ πρὸς τὸν Ὀδυσέα σοι εἰρηται περὶ τοῦ θανάτου· ὡς ἀλγυνῇ καὶ ἀνάξια τῶν διδασκάλοιν ἀμφοῖν, Χείρωνός τε καὶ Φοίνικος. ἠκροώμην γὰρ ὁπότε ἔφης βούλεσθαι, ἐπάρουρος ὢν, θητεύειν παρά τινι τῶν ἀκλήρων, ᾧ μὴ βίοτος πολὺς εἴη, μᾶλλον ἢ πάντων ἀνάσσειν τῶν νεκρῶν. Ταῦτα μὲν οὖν ἀλγυνῇ τινα φρύγα, δειλὸν, καὶ πέρα τοῦ καλῶς ἔχοντος φιλόζωον, ἴσως ἐχέτω λέγειν· τὸν Πηλέως δὲ υἱὸν, τὸν φιλοκινδυνότατον ἡρώων ἁπάντων, τοσαῦτα οὕτω περὶ αὐτοῦ διανοεῖσθαι, πολλὴ αἰσχύνη, καὶ ἀναιδότης πρὸς τὰ πεπραγμένα σοι ἐν τῷ βίῳ. ὃς, ἐξὸν ἀκλεῶς ἐν τῇ Φθιώτιδι πολυχρόνιον βασιλεύειν; ἑκὼν προεῖλου τὸν μετὰ τῆς ἀγαθῆς δόξης θάνατον. Ἀχ. Ὦ παῖ Νέστορος, ἀλλὰ τότε μὲν ἄπειρος ἔτι τῶν ἐνταῦθα ὢν, καὶ τὸ βέλτιον ἐκείνων ὁπότερον ἰὼν ἀγνοῶν, τὸ δίστιμον ἐκεῖνο δοξάσιον προετίμων τοῦ βίου· νοῦν δὲ σωφρονῶ ἤδη ὡς ἐκείνη μὲν ἀνωφελής, εἰ καὶ ὅτι μάλιστα οἱ ἄνω ῥαψῳδήσουσι· μετὰ νεκρῶν δὲ, ὁμοίμια. καὶ οὔτε τὸ κάλλος ἐκεῖνο, ὦ Ἀντίλοχε, οὔτε ἡ ἰσχὺς πάρεστιν, ἀλλὰ κείμεθα ἅπαντες ἐπὶ τοῦ αὐτοῦ ζόφου ὅμοιοι, καὶ κατ' οὐδὲν ἀλλήλων διαφέροντες. καὶ οὔτε οἱ τῶν Τρώων νεκροὶ δεδίασί με, οὔτε οἱ τῶν Ἀχαιῶν θεραπεύουσιν. ἰσοτιμία δὲ ἀκελεύστη, καὶ νεκρὸς ὅμοιος, ἡμῖν κακὸς ἰδὲ καὶ ἐσθλός. Ταῦτά με ἀνίᾳ, καὶ ἄχθομαι ὅτι μὴ θητεύω ζῶν. Ἀντ. Ὅμως τί οὐ σὺ αὖ γε πάθοι ὦ Ἀχιλλεῦ; Ταῦτα γὰρ ἔδοξε τῇ φύσει, πάντως ἀποθνήσκειν ἅπαντας. ὥστε χρὴ ἐμμένειν τῷ νόμῳ, καὶ μὴ ἀνιᾶσθαι τοῖς διαπαγκάροις. ἄλλως τε ὁρᾷς τοὺς ἑταίρων ὅσοι πρό σε ἐσμὲν οἵδε; μετὰ μικρὸν δὲ καὶ Ὀδυσεὺς ἀφίξεται πάντως. φέρει δὲ παράμυθιαν

καὶ ἡ κοινωνία τῶ πράγματος, καὶ τὸ μὴ μόιον αὐτὸν πεποιθέναι. ὁρᾶς τὸν Ἡρακλέα, καὶ τὸν Μελέαγρον, καὶ ἄλλους θαυμαστοὺς ἄνδρας, οἳ οὐκ ἂν, οἶμαι, δέξαιντο αἰνεῖν, εἴ τις αὐτοὺς ἀπέμψαι θηρεύοντας ἀκλήρους καὶ ἀβίοις ἀνδράσιν. Λ. Ἑταιρικὴ μὲν ἡ παραίνεσις· ἐμὲ δὲ οὐκ οἶδ' ὅπως ἡ μνήμη τῶν περὶ τὸν βίον αἰρεῖ· οἶμαι δὲ καὶ ὑμῶν ἕκαστον. εἰ δὲ μὴ ὁμολογεῖτε, ταύτη χείρους ἐστέ, καθ' ἡσυχίαν αὐτὸ πάσχοντες. Α. Οὔκ· ἀλλ' ἀμείνους, ὦ Λυκῖνε. τὸ γὰρ ἀνωφελὲς τῶ λέγειν ὁρῶμεν. σιωπᾶν γὰρ, καὶ φέρειν, καὶ ἀνέχεσθαι, δέδοκται ἡμῖν· μὴ γὰρ γέλωτα ὀφλῶμεν, ὥσπερ σὺ, παῖδα ἀλαζόμενοι.

ΔΙΟΓΕΝΟΥΣ ΚΑΙ ΗΡΑΚΛΕΟΥΣ ΔΙΑΛΟΓΟΣ.

Δ. Οὐχ Ἡρακλῆς οὗτός ἐστιν; οὔκουν ἄλλος, μὰ τὸν Ἡρακλέα. τὸ τόξον, τὸ ῥόπαλον, ἡ λεοντῆ, τὸ μέγεθος, ὅλος Ἡρακλῆς ἐστιν. εἶτα τέθνηκε, Διὸς υἱὸς ὤν; εἰπέ μοι ὦ καλλίνικε, νεκρὸς εἶ; ἐγὼ γάρ σοι ἔθυον ἐπὶ γῆς, ὡς θεῷ. Ηρ. Καὶ ὀρθῶς ἔθυες. αὐτὸς μὲν γὰρ ὁ Ἡρακλῆς ἐν οὐρανῷ τοῖς θεοῖς συνέστι, καὶ ἔχει καλλίσφυρον Ἥβην· ἐγὼ δ' εἴδωλον εἰμὶ αὐτοῦ. Δ. Πῶς λέγεις εἴδωλον τοῦ θεοῦ; καὶ δυνατὸν ἐξ ἡμισείας μέν τινα θεὸν εἶναι, τεθνάναι δὲ τῷ ἡμίσει; Ηρ. Ναί. οὐ γὰρ ἐκεῖνος τέθνηκεν, ἀλλ' ἐγὼ ἡ εἰκὼν αὐτοῦ. Δ. Μανθάνω. ἀνταποδόν σε τῷ Πλούτωνι παρέδωκεν αὐθ' ἑαυτόν· καὶ σὺ νῦν αὖτ' ἐκείνου νεκρὸς εἶ. Ηρ. Τοιοῦτό τι. Δ. Πῶς οὖν ἀκριβὴς ἦν ὁ Αἰακὸς, οὐκ ἔγνω σε μὴ ὄντα ἐκεῖνον, ἀλλὰ παρεδέξατο ὑποβολιμαῖον Ἡρακλέα παρόντα; Ηρ. Ὅπερ εἰκὸς ἀκριβῶς. Δ. Ἀληθῆ λέγεις. ἀκριβῶς γὰρ, ὥστε αὐτὸς ἐκεῖνος εἶ). ὅρα γοῦν μὴ τὸ ἐναντίον ᾖ· σὺ μὲν εἶ ὁ Ἡρακλῆς, τὸ δὲ εἴδωλον γεγάμηκε τὴν Ἥβην τοῖς θεοῖς. Ηρ. Θρασὺς εἶ, ὦ λάλος, ὦ, εἰ μὴ παύσῃ σκώπτων ἐς ἐμὲ, εἴσῃ αὐτίκα οἷόν θεοῦ εἴδω

λὸν εἰμι. Δ. Τὸ μὲν τόξον, γυμνὸν, καὶ τοξότου· ἐγὼ δὲ πάνυ ἔμπροσθεν φοβοίμην σε, ἅπαξ τετρωμένος; ἀτὰρ εἰπέ μοι τοῦτο τοῦ σοῦ Ἡρακλέους· ὁπότε ἐκεῖνος ἔζη, σωμᾶς αὐτὸν, καὶ πότε εἴδωλον ἦν; ἢ εἴς μέν ἦτε τοῦτο τὸ δίον, ἐπειδὴ ἀπεθάνετε, διαιρεθέντες, ὁ μὲν ἐς θεοὺς ἀπέπτατο, σὺ δὲ τὸ εἴδωλον, ὥσπερ εἰκὸς ἦν, εἰς ᾅδου πάρει; Ἡρ. Ἐχέτω μέντοι ἀποκρίνασθαι τοῦτο ἀνδρα δύπτηδες ἐρεχθομένου· ὅμως δὲ οὐδὲ τοῦτ' ἄκουσον. ὁπόσον μὲν Ἀμφιτρύωνος ἐν τῷ Ἡρακλεῖ ἦν, τοῦτο τέθνηκε, καὶ εἰμὶ ἐγὼ ἐκεῖνο πᾶν· ὁ δὲ ἦν τοῦ Διὸς, ἐν οὐρανῷ σώζεται τοῖς θεοῖς. Δ. Σαφῶς νυν μανθάνω. δύο γὰρ (φῂς) ἔτεκεν ἡ Ἀλκμήνη καὶ τὸν αὐτὸν Ἡρακλέα, τὸν μὲν, ἐκ τοῦ Ἀμφιτρύωνι, τὸν δὲ, τοῦ τοῦ Διός. ὥστε ἐλελήθειτε δίδυμοι ὄντες ὁμομήτριοι. Ἡρ. Οὐκ, ὦ μάταιε. ὁ γὰρ αὐτὸς ἄμφω ἦμεν. Δ. Οὐκ ἔστι μαθεῖν τοῦτο ῥᾴδιον, σωθέντος δύ' ὄντας Ἡρακλέας. ἐκτὸς εἰ μὴ, ὥσπερ ἱπποκένταυρός τις ἦτε, εἰς ἓν συμπεφυκότες, ἄνθρωπος καὶ θεός. Ἡρ. Οὐ γὰρ καὶ πάντες οὕτω σοι δοκοῦσι συγκεῖσθαι ἐκ δυοῖν, ψυχῆς καὶ σώματος; ὥστε τί τὸ κωλύον ἐστὶ, τὸν μὲν ψυχὴν ἐν οὐρανῷ εἶναι, ὥσπερ Διὸς ἐκ Διὸς, τὸ δὲ θνητὸν ἐμὲ, τοῦτο τοῖς νεκροῖς; Δ. Ἀλλ' ὦ βέλτιστε Ἀμφιτρυωνιάδη, καλῶς αὖ ταῦτ' ἔλεγες, εἰ σῶμα ἦσθα, νυνὶ δ' ἀσώματον εἴδωλον εἶ. ὥστε κινδυνεύεις τετρωμένον ἤδη ποιήσειν τὸν Ἡρακλέα. Ἡρ. Πῶς τετρωμένον; Δ. Ὧδέ πως. εἰ γὰρ ὁ μὲν τις ἐν οὐρανῷ, ὁ δὲ παρ' ἡμῖν οὗτος εἴδωλον, τὸ δὲ σῶμα ἐν Οἴτῃ κόνις ἤδη γενόμενον· τέρα δὴ ταῦτα γίνεται. καὶ σκόπει ὅπως δὴ πατέρα τέξον δυνήσεις τῷ σώματι. Ἡρ. Θερσύτης τις εἶ, καὶ σοφιστής. τίς δὲ καὶ ὢν τυγχάνεις; Δ. Διογμίου τοῦ Σινωπέως εἴδωλον. αὐτὸς δὲ οὐ μὰ Δία μετ' ἀθανάτοισι θεοῖσιν, ἀλλὰ τοῖς βελτίοσι νεκρῶν ἐσύειμι, Ὁμήρου καὶ τῆς τοσαύτης ψυδρολογίας καταγελῶν.

ΜΕΝΙΠΠΟΥ ΚΑΙ ΤΑΝΤΑΛΟΥ ΔΙΑΛΟΓΟΣ.

Μ. Τί κλάεις ὦ Ταύταλε; ἢ πί σεαυτὸν ὀδύρῃ, ὅτι τῇ λίμνῃ ἐσώς; Τ. Ὄπ, ὦ Μένιππε, ἀπόλωλα ὑπὸ τῆς δίψους. Μ. Οὕτως ἀργὸς εἶ, ὡς μὴ ὀπικύψας πιεῖν, ἢ καὶ νὴ Δί' ἀρυσάμφος κοίλῃ τῇ χειρί; Τ. Οὐδὲν ὄφελος εἰ ὀπικύψαιμι. φθύγγεται γὰρ τὸ ὕδωρ, ἐπειδὰν προσιόντα αἴσθηταί με. ἰὼ δέ ποτε καὶ ἀρύσαιμι, καὶ προσενέγκω τῷ στόματι, οὐ φθάνω βράξας ἄκρον τὸ χεῖλος, καὶ διὰ τῶν δακτύλων διαρρυὲν, οὐκ οἶδ' ὅπως αὖθις ἀπολείπει ξηραὶν τὴν χεῖρά μου. Μ. Τεράστιόν γε πάσχεις ὦ Ταύταλε. ἀπαρείπεμοι, τί γὰρ χρὴ δεῖν τὸ πιεῖν; οὐ γὰρ σῶμα ἔχεις· ἀλλ' ἐκεῖνο μόνον Λυδίᾳ που πέπαται, ὅθεν καὶ πεινῆν καὶ διψῆν εἰώθασι· σὺ δὲ ἡ ψυχὴ πῶς αὖ ἔτι ἢ διψᾷς, ἢ πίνοις; Τ. Τοῦτ' αὐτό γε κολάσεως ὅσον, τὸ διψῆν μου τὴν ψυχήν, ὡς σῶμα οὖσαν. Μ. Ἀλλὰ τοῦτο μὲν οὕτω πιστεύσομεν, ἐπεὶ φῂς τῷ δίψει κολάζεσθαι. τί δ' οὖν σοι τὸ δεινὸν ἔσται; ἢ δέδιας μὴ ἀνδρία τις ποτὲ ἀποθάνῃς; οὐ γὰρ ὁρῶ γε ἄλλον μετὰ τοῦτον ἅδην, ἢ θάνατον ἐντεῦθεν εἰς ἕτερον τόπον. Ταν. Ὀρθῶς μὲν λέγεις. καὶ τοῦτο δ' οὖν μέρος τῆς κατάδικης, τὸ ὀπιθυμεῖν πιεῖν, ῥιπτὴν δεόμενον. Μ. Λῆρεῖς ὦ Ταύταλε, καὶ ὡς ἀληθῶς ποτὲ δεῖσθαι δοκεῖς, ἀκράτου γε ἑλλεβόρου νὴ Δία· ὅσπερ ζωὰν πρὸ τῶν λυσιτελούντων κακῶν δεδημένοις πέπονθας, οὐ τὸ ὕδωρ ἀλλὰ τὴν δίψαν πεφοβημένος. Τ. Οὐδὲ τὸν ἑλλέβορον ὦ Μένιππε αἱρήσομαι πιεῖν· ἡδύ μοι τοῦτο μόνον. Μ. Θαρρεῖ ὦ Ταύταλε, ὡς οὔτε σὺ, οὔτε ἄλλος πίεται τῶν νεκρῶν. ἀδύνατον γάρ. καίτοι οὐ πάντες ὥσπερ σὺ, ἐκ κατάδικης δίψῶσι, τὸ ὕδατος αὐτοῖς οὐκ ἐπομένου.

ΜΕΝΙΠΠΟΥ ΚΑΙ ΕΡΜΟΥ ΔΙΑΛΟΓΟΣ.

Μ. Ποῦ ἆρ' οἱ καλοί εἰσιν, ἢ αἱ καλαί, ὦ Ἑρμῆ; ξενάγησόν με νέπλων ὄντα. Ἑρ. Οὐ χολή μοὐ, ὦ Μένιππε. πλὼ κατ' ἐκεῖνο αὐτὸ ἀποβλέψον, ὡς ὅπῃ τὰ δεξιά, ἔνθα Ταίναρός τέ ἐστι, καὶ ὁ Ναρικὸς, καὶ Νιρεύς, καὶ Ἀχιλλεύς, καὶ Τυρὼ, καὶ Ἑλένη, καὶ Λήδα, καὶ ὅλως τὰ ἀρχαῖα κάλλη πάντα. Μ. Ὀστᾶ μόνον ὁρῶ, καὶ κρανία, τῆς ὀρχεως γυμνά, ὅμοια τὰ πολλά. Ἑρ. Καὶ μὴν ἐκεῖνά ἐστιν ἃ πάντες οἱ ποιηταὶ θαυμάζουσι τὰ ὀστᾶ, ὧν οὐ ἔοικας καταφρονεῖν. Μ. Ὅμως τὴν Ἑλένην μοι δεῖξον. οὐ γὰρ ἂν διαγνοίην ἔγωγε. Ἑρ. Τουτὶ τὸ κρανίον ἡ Ἑλένη ἐστί. Μ. Εἶτα αἱ χίλιαι νῆες διὰ τοῦτο ἐπληρώθησαν ἐξ ἁπάσης τῆς Ἑλλάδος; καὶ τοσοῦτοι ἔπεσον Ἕλληνές τε καὶ βάρβαροι, καὶ τοσαῦται πόλεις ἀνάστατοι γεγόνασιν; Ἑρ. Ἀλλ' οὐκ εἶδες ὦ Μένιππε ζῶσαν τὴν γυναῖκα. ἔφης γὰρ ἂν ἐς οὐδὲν διενεγκεῖν),

Τοιῆδε ἀμφὶ γυναικὶ πολὺν χρόνον ἄλγεα πάσχειν. ἐπεὶ καὶ τὰ αἴσχη, ἢν ἐξ ὄντα εἴ τις βλέποι, ἀποβεβλημένα τὴν βαφὴν, ἄμορφα δῆλον ὅπῃ αὐτῷ δόξει· ὅτε μέντοι αἰδεῖ, καὶ ἔχει τὴν χροιάν, κάλλιστά ἐστιν. Μ. Οὐκοῦν τοῦτο ὦ Ἑρμῆ θαυμάζω, εἰ μὴ σωίεσαν οἱ Ἀχαιοὶ τοσοῦτο πρᾶγματος οὕτως ὀλιγοχρονίου καὶ ῥᾳδίως ἀπαντωμένου πονοῦντες. Ἑρ. Οὐ χολή μοι ὦ Μένιππε συμφιλοσοφεῖν σοι· ὥστε ὅπῃ κεχάρηκας τόπον, ἔνθα αὖ ἐθέλῃς κεῖσο καταβαλὼν σεαυτόν. ἐγὼ γὰρ τοῖς ἄλλοις νεκροῖς ἤδη μεταβήσομαι.

ΑΙΑΚΟΥ, ΠΡΩΤΕΣΙΛΑΟΥ, ΜΕΝΕΛΑΟΥ ΚΑΙ ΠΑΡΙΔΟΣ ΔΙΑΛΟΓΟΣ.

Αἰ. Τί ἄρχεις ὦ Πρωτεσίλαε τὴν Ἑλένην φεύγοντος; Πρ. Ὅτι διὰ ταύτην ὦ Αἰακὲ ἀπέθανον, ἡμιτελῆ μὲν τὸν δόμον καταλιπών; χήραν δὲ τὴν νεόγαμον γυναῖκα. Αἰ. Ἀτὰρ

τίνων τὴν Μενέλαον, ὅστις ὑμᾶς ὑπὲρ τοιαύτης γυναικὸς ὅπλα Τροίαν ἤγαγεν. Γρ. Εὖ λέγεις· ἐκεῖνόν μοι ἀπατέον. Μ. Οὐκ ἐμέ, ὦ βέλτιστε, ἀλλὰ δικαιότερον τὸν Πάριν, ὃς ἐμοῦ τοῦ ξένου τὴν γυναῖκα σὺν ἅπασι τοῖς ἄλλοις ἁρπάσας. σοῦ γὰρ οὐχ ὑπὸ σοῦ μόνον, ἀλλ' ὑπὸ πάντων Ἑλλήνων τε καὶ βαρβάρων ἄξιος ἄγχεσθαι, τοσούτοις θανάτου ἄπορος γεγενημένος. Γρ. Ἄμεινον οὕτω. σὲ τοίνυν, ὦ δύσπαρι, οὐκ ἀφήσω ποτὲ ἀπὸ τῶν χειρῶν. Π. Ἄδικα ποιῶν, ὦ Πρωτεσίλαε· καὶ ταῦτα, ὁμότεχνον ὄντα σοι. ἐρωτικὸς γὰρ κἀγὼ αὐτός εἰμι, καὶ τῷ αὐτῷ θεῷ κατέχομαι. οἶσθα γὰρ ὡς ἀκούσιόν τι τὸ ἁμάρτημα. καί τις ἡμᾶς δαίμων ἄγει ἔνθα αὖ ἐθέλῃ, καὶ ἀδυνάτον ἐστὶν αὐτὰ πεῖσαι αὐτῷ. Πρ. Εὖ λέγεις. εἴθε οὖν μοι τὸν Ἔρωτα ἐνταῦθα λαβεῖν δυνατὸν ἦν. Αι. Ἐγώ σοι καὶ πρὸς τοῦ Ἔρωτος ἀποκρινοῦμαι τὰ δίκαια. φησὶ γὰρ αὐτὸς μὴ τὸν ἐραστὴν τῷ Γανυμήδει ἴσως γεγονέναι ἄξιος· τοῦ θανάτου δέ σοι οὐδένα ἄλλον, ὦ Πρωτεσίλαε, ἢ σεαυτόν, ὃς ἐκλαθόμενος τῆς νεογάμου γυναικὸς, ἐπὶ πρώτοις ἐφέρεσθε τῇ Τροίᾳ, οὕτω φιλοκινδύνως καὶ ἀπερισκέπτως προεπήδησας τῶν ἄλλων, δόξης ἐραθείς, δι' ἣν πρῶτος ἐν τῇ ἀποβάσει ἀπέθανες. Πρ. Οὐκοῦν κἀγὼ ὑπὲρ ἐμαυτοῦ σοι τῷ Αἰακιδῇ ἀποκρινοῦμαι δικαιότερα. οὐ γὰρ ἐγὼ τούτων αἴτιος, ἀλλ' ἡ μοῖρα, καὶ τὸ ἐξ ἀρχῆς οὕτως ἐπικεκλῶσθαι. Αι. Ὀρθῶς. τί οὖν τούτοις αἰτιᾷ;

ΜΕΝΙΠΠΟΥ ΚΑΙ ΚΕΡΒΕΡΟΥ ΔΙΑΛΟΓΟΣ.

Μ. Ὦ Κέρβερε (συγγενὴς γὰρ εἰμί σοι, κύων καὶ αὐτὸς ὤν) εἰπέ μοι πρὸς τῆς Στυγὸς, οἷος ἦν ὁ Σωκράτης ὁπότε κατῄει πρὸς ὑμᾶς. εἰκὸς δέ σε, θεὸν ὄντα, μὴ ὑλακτεῖν μόνον, ἀλλὰ καὶ ἀνθρωπικῶς φθέγξεσθαι ὁπότ' ἐθέλοις. Κ. Πόρρωθεν μὲν ὦ Μένιππε, παντάπασιν ἐδόκει ἀπρεπῆ πρόσωπα προσπεσεῖν, καὶ οὐ πάνυ σεβίσειν τὸν θάνατον δοκῶν,

δοκῶν· καὶ τότ' ἐμφῆναι τοῖς ἔξω τὸ στομίου ἐσῶσιν ἐθέλων· ἐπεὶ δὲ κατέκυψεν εἴσω τοῦ χάσματος, καὶ εἶδε τὸν ζόφον, καὶ ὅπ ὀλιγομέλοντα αὐτὸν δακὼν τοῦ κανείου, κατέπασσε τοὺς ποδός, ὡς ὅρ τὰ βρέφη ἐκώκυε, καὶ τὰ ἑαυτοῦ παιδία ὠδύρετο, καὶ παντοῖος ἐγίνετο. Μ. Οὐκοῦν σοφιστὴς ὁ ἄνθρωπος ἦν, καὶ οὐκ ἀληθῶς κατεφρόνει τοῦ θεάματος; Κ. Οὔκ· ἀλλ' ἐπεὶ ὅρ ἀναγκαῖον αὐτὸ ἑώρα, καταθρασύνετο, ὡς δῆθεν οὐκ ἄκων πεισόμενος ὃ πάντως ἔδει παθεῖν· ὡς θαυμάσονται οἱ θεαταί. καὶ ὅλως, ὠδὲ πάντων γε τῶν τοιούτων εἰπεῖν αὖ ἔχοιμι· ἕως τοῦ στομίου θλιμποί, καὶ ἀνδρεῖοι· τὰ δ' ἔνδοθεν, ἔλεγχος ἀκριβής. Μ. Ἐγὼ δὲ πῶς σοι καταληλυθέναι ἔδοξα; Κ. Μόνος, ὦ Μένιππε, ἀξίως τοῦ ἤθους· καὶ Διογμίης ὠδὲ σοῦ· ὅτι μὴ ἀναγκαζόμενοι ἐσήειτε, μηδ' ὠθούμενοι, ἀλλ' ἐθελούσιοι, γελῶντες, οἰμώζειν ὠδαγγείλαντες ἅπασιν.

ΧΑΡΩΝΟΣ, ΚΑΙ ΜΕΝΙΠΠΟΥ, ΚΑΙ ΕΡΜΟΥ ΔΙΑΛΟΓΟΣ.

Χ. Ἀπόδος ὦ καπέρατε τὸ πορθμεῖα. Μ. Βόα, εἰ τοῦτό σοι ἥδιον ὦ Χάρων. Χ. Ἀπόδος, φημί, αἰθ' ὧν σε διεπορθμευσάμην. Μ. Οὐκ αἰ λάβοις ὠδὲ τὸ μὴ ἔχοντος. Χ. Ἔστι δέ τις ὀβολὸν μὴ ἔχων; Μ. Εἰμὴ καὶ ἄλλος τις, οὐκ οἶδα· ἐγὼ δὲ οὐκ ἔχω. Χ. Καὶ μὴν ἄγξω σε, νὴ τὸν Γλούτωνα, ὦ μιαρέ, ἰὼ μὴ ἀποδῷς. Μ. Κἀγὼ τῷ ξύλῳ σου παπάξας θλαύσω τὸ κρανίον. Χ. Μάτην οὖν ἔσῃ πεπλουκὼς τοσοῦτον πλοῦν; Μ. Ὁ Ἑρμῆς γάρ ἐμοί σοι ἀποδότω, ὅς με παρέδωκέ σοι. Ἑρ. Νὴ Δία ὀναίμην, εἰ μέλλω γε καὶ ὑπερεκπίνειν τῶν νεκρῶν. Χ. Οὐκ ἀποσήσομαί σου. Μ. Τούτου γε ἕνεκα νεωλκήσας τὸ πορθμεῖον ὠδράμωμε· πλὴν ἀλλ' ὅ γε μὴ ἔχω, πῶς αἰ λάβοις; Χ. Σὺ δ' οὐκ ἤδεις ὡς κομίζειν δεῖ; Μ. Ἤδειν μήν, οὐκ εἶχον

δέ. τί οὖν; ἐχρῆν σε διὰ τοῦτο μὴ ἀποθανεῖν; Χ. Μόνος σὺ αὐχήσεις πεποίηκα πεπλουτήκαι; Μ. Οὐ πεποίηκα, ὦ βέλτιστε. καὶ γὰρ ἰώτισα, καὶ τῆς κώπης ἐπιλαβόμενος· καὶ οὐκ ἔκλαιον μόνος τῶν ἄλλων ὀπταστῶν. Χαρ. Οὐδὲν ταῦτα πρὸς τὰ παρθμία. τὸν ὀβολὸν ἀποδοῦναί σε δεῖ. οὐ γὰρ θέμις ἄλλως ἡμᾶς. Μ. Οὐκοῦν ἀπάγαγέ με αὖθις εἰς τὸν βίον. Χ. Χαρίεν λέγεις· ἵνα καὶ πληγὰς ὑπὸ τούτου διὰ τὸ Αἰακοῦ πρόσλαβω. Μ. Μὴ ἀνόχλει οὖν. Χ. Δεῖξον τί ἐν τῇ πήρᾳ ἔχεις. Μ. Θέρμους, εἰ θέλεις, καὶ τῆς Ἑκάτης τὸ δεῖπνον. Χ. Πόθεν τοῦτον ἡμῖν ὦ Ἑρμῆ τὸν κύνα ἤγαγες; οἷα δὴ καὶ ἐλάκει πρὸς τὸν πλοῦν, τῶν ὀπταστῶν ἁπάντων καταγελῶν, καὶ ὀπισθόπλων, καὶ μόνος ᾄδων, οἰμωζόντων ἐκείνων. Ἑρ. Ἀγνοεῖς ὦ Χάρων, ὁποῖον ἄνδρα διεπόρθμευσας; ἐλεύθερον ἀκριβῶς, καὶ δεσπότου οὐδενὸς αὐτῷ μέλει. οὗτός ἐστιν ὁ Μένιππος. Χ. Καὶ μὴν αὖ σε λάβω ποτέ. Μ. Ἂν λάβῃς ὦ βέλτιστε· δὶς δὲ οὐκ ἂν λάβοις.

ΓΡΩΤΕΣΙΛΑΟΥ ΚΑΙ ΠΛΟΥΤΩΝΟΣ ΔΙΑΛΟΓΟΣ.

Πρ. Ὦ δέσποτα, καὶ βασιλεῦ, καὶ ἡμέτερε Ζεῦ, καὶ σὺ Δήμητερ θύγατερ, μὴ ὑβρίσθητε δεῖσιν ἐρωτικοῖν. Πλ. Σὺ δὲ τίνος δεῖ παρ' ἡμῶν; ἢ τίς ὢν τυγχάνεις; Πρ. Εἰμὶ μὲν Πρωτεσίλαος ὁ Ἰφίκλου, Φυλάκιος, σύγκαιρος τῶν Ἀχαιῶν, καὶ πρῶτος ἀποθανὼν τῶν ἐπ' Ἰλίῳ· δέομαι δέ, ἀφεθεὶς πρὸς ὀλίγον, ἀναβιῶναι πάλιν. Πλ. Τοῦτον μὲν τὸν ἔρωτα, ὦ Πρωτεσίλαε, πάντες νεκροὶ ἐρῶσι, πλὴν οὐδεὶς αὖ αὐτῶν τυγχάνει. Πρ. Ἀλλ' οὐ θέμις ἦν, Αἰδωνεῦ, ἐρᾶν ἔγωγε· τῆς γυναικὸς ἦν, ἣν νεόγαμον ἔτι οὖσαν τὸν θάλαμον καταλιπὼν, ὡχόμην ἀποπλέων. εἶτα ὁ κακοδαίμων ἐν τῇ ἀποβάσει ἀπέθανον ὑπὸ τοῦ Ἕκτορος. ὁ οὖν ἔρως τῆς γυναικὸς οὐ μετρίως ἀποκναίει με, ὦ δέσποτα· καὶ βούλομαι κἂν πρὸς ὀλίγον ὀφθεὶς αὐτῇ, καταβλῶναι πάλιν. Πλ. Οὐκ ἔπιες ὦ Πρωτεσίλαε τὸ Λήθης ὕδωρ; Πρ. Καὶ μάλα ὦ

δίκαστα· τὸ δὲ πρᾶγμα ὑπόγκον ἰῶ. Πλ. Οὐκοῦν πεί-
μενον. ἀφίξεται γὰρ ἐκείνη ποτέ, καὶ οὐδέν σε ἀνελθεῖν
δεήσει. Πρ. Ἀλλ' οὐ φέρω τὼ δίαιτα ἰῶ, ὦ Γλούτων. ἠ-
ράσθης δὲ καὶ αὐτὸς ἤδη, καὶ οἶσθα οἷ τὸ ἐρᾶν ὄζει. Γλ.
Εἶτα τί σε ὀνήσει μίαν ἡμέραν ἀναβιῶναι, μετ' ὀλίγον τὰ
αὐτὰ ὀδυρούμενον; Πρ. Οἶμαι πείσειν κἀκείνην ἀκολου-
θεῖν παρ' ὑμᾶς. ὥστε αὖθ' ἑνὸς δύο νεκροὺς λήψῃ μετ' ὀ-
λίγον. Γλ. Οὐ θέμις γλυέσθαι ταῦτα· οὐδὲ ἐγλύφετο πώπο-
τε. Πρ. Ἀναμνήσω σε ὦ Γλούτων. Ὀρφεῖ γὰρ δι' αὐτὴν ταύ-
την τὴν αἰτίαν τὴν Εὐρυδίκην παρέδοτε· καὶ τὴν ὁμοιχῆ μου
Ἄλκηστιν παρεπέμψατε, Ἡρακλεῖ χαριζόμενοι. Πλ. Θε-
λήσῃς γὰρ, οὕτω κρανίον γυμνὸν ὢν καὶ ἄμορφον, τῇ καλῇ σου
ἐκείνῃ νύμφῃ φανῆναι; πῶς γὰρ κἀκείνη προσόψεταί σε, οὐ-
δὲ δάκνων δυναμένη; φοβήσεται γὰρ, οὗ οἶδα, καὶ φεύξε-
ταί σε. καὶ μάτην ἔσῃ τοσαύτην ὁδὸν ἀνεληλυθώς. Περ-
σεφόνη. Οὐκοῦν, ὦ ἄνερ, σὺ καὶ τοῦτ' ἴασαι. τὴν Ἑρμοῦν κέλευ-
σον, ἐπειδὰν ἐν τῷ φωτὶ ἤδη ὁ Πρωτεσίλαος ᾖ, καὶ δικόμβῳ σὺν
ἐν τῇ ῥάβδῳ, νεανίαν ἄθυς καλὸν ἀναρπάσασθαι αὐτὸν,
οἷος ἰὼν ἐκ τοῦ πασσάλου. Γλ. Ἐπεὶ Περσεφόνῃ συνδοκεῖ, ἀνα-
γαγὼν τοῦτον, αὖθις πίπτον νυμφίον. σὺ δὲ μέμνησο μίαν
λαβὼν ἡμέραν.

ΔΙΟΓΕΝΟΥΣ ΚΑΙ ΜΑΥΣΩΛΟΥ ΔΙΑΛΟΓΟΣ.

Δ. Ὦ Καρὸν τὸν Ἰνὸ μέγα φρονεῖς, καὶ πάντων ἡμῶν σοῦ
ὑμᾶς ἀξιοῖς; Μ. Καὶ ὅτι τῇ βασιλείᾳ μου, ὦ Σινωπεῦ·
(ὃς ἐβασίλευσα Καρίας μὲν ἁπάσης, ἦρξα δὲ καὶ Λυδῶν ἐνί-
ων· καὶ νήσους δέκα ὑπηγαγόμην, καὶ ἄχρι Μιλήτου ἐ-
πέβην, καὶ πολλὰ τῶν Ἰωνίδων καταστρεφόμενος· καὶ καλὸς ἦν,
καὶ μέγας, καὶ ἐν πολέμοις καρτερός) τὸ δὲ μέγιστον, ὅτι ἐν Ἁ-
λικαρνασσῷ μνῆμα παμμέγεθες ἔχω ὑπικείμενον, ἡλί-
κον οὐκ ἄλλος νεκρός· ἀλλ' οὐδὲ ὅπως ἐς κάλλος ξυνσκημέ-
νον, ἵππων καὶ ἀνδρῶν ἐς τὰ ἀκριβέστατον εἰκασμένων;

λίθου τῦ καλλίστου· οἷον οὐδὲ νεὼν θύροι ὡς αὖ ῥᾳδίως. οὐ δοκῶ σοι δικαίως ὀπὶ τύποις μέγα φρονεῖν; Δ. Ἐπὶ τῇ βασιλείᾳ φῄς, καὶ τῷ κάλλει, καὶ τῷ βάρει τῦ τάφου; Μ. Νὴ Δί' ὀπὶ τύποις. Δ. Ἀλλ' ὦ καλὲ Μαύσωλε, οὔτε ἡ ἰσχὺς ἔπ σοι ἐκείνη, οὔτε ἡ μορφὴ πάρεστιν. εἰ γοῦν ὡς ἐλοίμθα δικασὴν ἀμορφίας πέρι, οὐκ ἔχω εἰπεῖν ὅτος ἕνεκα τὸ σὸν κρανίον προσυμηθείη αἰ τὸ ἐμοῦ. φαλακρὸ γὸ ἄμφω καὶ γυμνά· κὴ τὶς ὀδόντας ὁμοίως προσφαίνομθ, καὶ τὶς ὀφθαλμοὺς ἀφηρήμθα, καὶ τὰς ῥῖνας ἀποσεσιμώμεθα. ὁ δὲ τάφος, καὶ οἱ πολυτελεῖς ἐκεῖνοι λίθοι, Ἀλικαρνασσεῦσι μὴ ἴσως εἶεν ὀπιδείκνυθαι, καὶ φιλοτιμεῖθ πρὸς τὶς ξένους, ὡς δή τι μέγα οἰκοδόμημα αὐτῖς ὄσι· σὺ γὸ ὦ βέλτιστε οὐχ ὁρᾷς ὅ, τι ἀπολαύεις αὐτῦ· πλὴν εἰ μὴ τῦτο φῄς, ὅτι μᾶλλον ἡμῶν ἀχθοφορεῖς, ὑπὸ τηλικούτοις λίθοις πιεζόμθος. Μ. Ἀνόητα σοῖ μοι ἐκεῖνα πάντα; καὶ ἰσότιμος ἔσαι Μαύσωλος κὴ Διογθίης; Δ. Οὐκ ἰσότιμος, ὦ γθυναιότατε· οὐ γάρ. Μαύσωλος μὴ γὸ οἰμώξεται, μεμνημθμός τῶν ὑπὸ γῆς, ἐν οἷς ἀδαιμονᾶν ᾤετο· Διογθίης γὸ καταγελάσεται αὐτῦ· καὶ τάφον ὁ μὴ ἐν Ἀλικαρνασσῷ ἐρεῖ ἑαυτῦ ὑπὸ Ἀρτεμισίας τῆς γυναικὸς καὶ ἀδελφῆς κατεσκευασμένον· ὁ Διογθίης γὸ τὸ μὲ σῶμα πῦ εἰ καί τινα τάφον ἔχῃ οὐκ οἶδεν· (οὐδὲ γὸ ἔμελεν αὐτῷ τῦτο) λόγον δὲ τοῖς ἀεὶ σοῖς ὑπὲρ αὐτῦ καταλέλοιπεν, ἀνδρὸς βίον βεβιωκὼς, ὑψηλότερον, ὦ Καρῶν ἀνδραποδωδέστατε, τῦ σοῦ μνήματος, καὶ ἐν βεβαιοτέρῳ χωρίῳ κατεσκευασμένον.

ΝΙΡΕΩΣ, ΘΕΡΣΙΤΟΥ, ΚΑΙ ΜΕΝΙΠΠΟΥ ΔΙΑΛΟΓΟΣ.

Ν. Ἰδοὺ δὴ Μένιππος οὗτοσὶ δικάσῃ πότερος ἀμορφότερός ὄστιν. εἰπὲ ὦ Μένιππε, οὐ καλλίων σοι δοκῶ; Μ. Τίνες γὰρ ἐστέ, πρότερον, οἶμαι. χρὴ γὸ ἕπο εἰδέναι. Ν. Νιρεὺς κὴ Θερσίτης. Μ. Πότερος ὁ Νιρεύς, καὶ πότερος οὖν ὁ Θερσίτης; οὐδέπω γὸ τῦτο δῆλον. Θ. Ἐγὼ μὲ ἤδη τῦτ' ἔχω, ὅτι

ὅμοιος εἰμί σοι. & οὐδὲν τηλικοῦτον διαφέρεις, ἡλίκον σε Ὅμηρος ἐκεῖνος ὁ τυφλὸς ἐπήνεσεν, ἁπάντων ἀμορφότατον ἀποσείπων. ἀλλ' ὁ φόξος ἐγὼ, & ψιλὸς, οὐδὲν χείρων ἐφάνην τῆ δικαστῆ. ὥρα δέ σοι ὦ Μένιππε, ὕπνα & ἀμορφότερον ἠγῆ. Ν. Ἐμέ γε, τὴν Ἀγλαΐας καὶ Χάροπος, ὃς κάλλιστος ἀνὴρ ἐπὶ Ἴλιον ἦλθον. Μ. Ἀλλ' οὐχὶ καὶ ἐπὶ γλῶ, ὡς οἶμαι, κάλλιστος ἦλθες. ἀλλὰ πάμπολύ σε ὅμοια· τὸ γὰρ κρανίον ταύτη μόνον ἄρα διήκρινοτο ἀπὸ τοῦ Θερσίτου κρανίου, ὅτι βλοσυρώτερον τὸ σόν. ἀλλὰ πάνυ καὶ οὐκ αἰδοῦς ἔχεις. Ν. Καὶ μὴν ἔρα Ὅμηρον ὁποῖος ἦν, ὁπότε συνεστράτευον τοῖς Ἀχαιοῖς. Μ. Ὀνείρατά μοι λέγεις. ἐγὼ γὰρ ἃ βλέπω, καὶ νῦν ἔχω· ἐκεῖνα δὲ οἱ πάλαι ἴσασιν. Νιρ. Οὔκουν ἐγὼ ἐνταῦθα ἀμορφότερός εἰμι, ὦ Μένιππε; Μ. Οὔτε σὺ, οὔτε ἄλλος βλοσυρός. ἰσοτιμία γὰρ ἐν ᾅδου, καὶ ὅμοιοι ἅπαντες, Θ. Ἐμοὶ μὲν καὶ τοῦτο ἱκανόν.

ΜΕΝΙΠΠΟΥ ΚΑΙ ΧΕΙΡΩΝΟΣ ΔΙΑΛΟΓΟΣ.

Μ. Ἤκουσα ὦ Χείρων, ὡς θεὸς ὢν ὅμως ἐθελήσειας ἀποθανεῖν. Χ. Ἀληθῆ ταῦτ' ἤκουσας ὦ Μένιππε. καὶ πέπονθα, ὡς ὁρᾷς, ἀθάνατος εἰ δυνάμενος. Μ. Τίς δέ σε ἔρως τοῦ θανάτου ἔσχεν, ἀπείρατου τοῖς πολλοῖς κακῶν; Χ. Ἔρως τις οὐκ οἶδα ὅπως. οὐκ ἤδη ἐπ' ἤδη ἀπολαύειν τῆς ἀθανασίας. Μ. Οὐχ ἡδὺ ἦν, ζῶντα ὁρᾶν τὸ φῶς; Χ. Οὐκ, ὦ Μένιππε. τὸ μὲν ἡδὺ, ἔγωγε ποικίλον τι & οὐχ ἁπλοῦν ἡγοῦμαι εἶναι. ἐγὼ γὰρ ζῶν ἀεὶ, καὶ ἀπολαύων τῶν ὁμοίων, ἡλίου, φωτὸς, ἕω ῆς. αἱ ὧραι γὰρ αἱ αὐταὶ, καὶ τὰ γιγνόμενα ἅπαντα ἑξῆς ἕκαστον, ὥσπερ ἀκολουθοῦντα ἕτερον ἑτέρῳ. ἐνεπλήσθην μὲν αὐτῶν. οὐ μὲν ἐν τῷ αὐτῷ ἀεὶ, ἀλλὰ καὶ ἐν τῷ μεταλλεῖν ὅλως, τὸ τερπνὸν μοι. Μ. Εὖ λέγεις ὦ Χείρων. τὰ ἐν ᾅδου δὲ πῶς φέρεις, ἀφ' οὗ περιελόμενος αὐτὰ ἥκεις; Χ. Οὐκ ἀηδῶς, ὦ Μένιππε. ἡ μὲν ἰσοτιμία, πάνυ δημοτικόν· καὶ τὸ πεδίον οὐδὲν ἔχει τὸ διά-

φορον, ἐν φωτὶ εἶ) ἢ ἐν σκότῳ. ἄλλως τε, οὐδὲ διψῆν, ὥσπερ ἄνω, οὔτε πεινῆν δεῖ, ἀλλ' ἀνεπιδεεῖς τούτων ἁπάντων ἐσμέν. Μ. Ὅρα ὦ Χείρων μὴ σεαυτὸν ἀπατήσῃς, καὶ ἐς τὸ αὐτὸ σοὶ ὁ λόγος σφαλῇ. Χ. Πῶς τοῦτο φῄς; Μ. Ὅτι εἰ σὺ ἐν τῷ βίῳ τὸ ὅμοιον ἀεὶ ἑαυτὸν ἐζήτεις σοι σφόδρα ἑταῖροι, καὶ ἐνταῦθα ὅμοια ὄντα, σφόδρα ὁμοίως ἂν ζήτοις· καὶ δέησει μεταβολῆς ζητεῖν ἄνω καὶ ἐντεῦθεν ἐς ἄλλον βίον. ὥρα, οἶμαι, ἀδύνατον. Χ. Τί οὖν ἂν πάθοι ἡμᾶς ὦ Μένιππε; Μ. Ὥρα, οἶμαι, καὶ φασὶ σωφρονεῖν ὄντα, ἀρέσκεσθαι καὶ ἀγαπᾶν τοῖς παροῦσι, καὶ μηδὲν αὐτῶν ἀφόρητον οἴεσθαι.

ΑΙΑΝΤΟΣ ΚΑΙ ΑΓΑΜΕΜΝΟΝΟΣ

ΔΙΑΛΟΓΟΣ.

Α. Εἰ σὺ μανεὶς ὦ Αἶαν σαυτὸν ἐφόνευσας, ἐμέλισας ἢ καὶ ἡμᾶς ἅπαντας, τί αἰτιᾷ τὸν Ὀδυσσέα; καὶ σφόδρα ὅτε σφοδρὸν ἔβλεψας αὐτόν, ὁπότε ἦκε μαιτευσόμενος, ὅτε πρὸς εἰπεῖν ἠξίωσας, ἄνδρα συμπαπώτην καὶ ἑταῖρον· ἀλλ' ὑπερφυῶς μεγάλα βαίνων παρῆλθες. Αἴας. Εἰκότως, ὦ Ἀγάμεμνον. αὐτός γάρ μοι τῆς μανίας αἴτιος κατέστη, μόνος ἀπεξεπαθεὶς ὅπλοις τοῖς ὅπλοις. Ἀγ. Ἠξίους ἢ ἄναν ταχθῆναι εἶ), καὶ ἀκονιτὶ κρατεῖν ἁπάντων; Αἴας. Ναί, τά γε θειότατα. οἰκεία γάρ μοι ἐδόκει ἡ πανοπλία, ἅτε αἰεί γε ὄντα. καὶ ὑμεῖς οἱ ἄλλοι πολὺ ἀμείνους ὄντες, ἀπείπασθε τὸν ἀγῶνα, καὶ παρεχωρήσατέ μοι τῶν ἄθλων. ὁ δὲ Λαέρτου, οὐ νῦν πολλάκις ἔσωσα, κινδυνεύοντα κατακεκόφθαι ὑπὸ τῶν Φρυγῶν, ἀμείνων ἠξίου εἶ), καὶ ὁπλιτικώτερος ἔχειν τὰ ὅπλα. Ἀγ. Αἰτῶ τοιγαροῦν ὦ γενναῖε τὴν Θέτιν, ἢ δέον σοὶ τὴν κληρονομίαν τῶν ὅπλων παραδιδόναι συγγενεῖ γε ὄντι, φέρουσα ἐς τὸ κοινὸν κατέθετο αὐτά. Αἴας. Οὐκ ἀλλὰ τὸν Ὀδυσσέα, ὃς αἰτησάμενος μόνος. Ἀγ. Συγγνώμη, ὦ Αἶαν, εἰ ἄνθρωπος ὤν, ὑπερέχειν δόξης, ὑπὲρ τοῦ πράγματος, ὑπὲρ ἧς καὶ ἡμῶν ἕκαστος κινδυνεύειν ὑπομένει. ἐπεὶ καὶ

ἐκράτησέ σου, καὶ ταῦτα, πρὸς Τρωσὶ δικάσας, Αἴας. Οἶδα ἐγὼ ἅπις μου κατεδίκασεν· ἀλλ' οὐ θέμις λέγειν τι πρὸς τῶν θεῶν. τὸν γοῦν Ὀδυσσέα μὴ οὐχὶ μισεῖν οὐκ ἂν δυναίμην, ὦ Ἀγάμεμνον; οὐδ' εἰ αὐτή μοι Ἀθηνᾶ τοῦτο ἐπετέλει.

ΜΙΝΩΟΣ ΚΑΙ ΣΩΣΤΡΑΤΟΥ ΔΙΑΛΟΓΟΣ.

Μ. Ὁ μὲν λῃστὴς οὗτος Σώστρατος ἐς τὸν Γυελφλεγέθοντα ἐμβεβλήσθω· ὁ δὲ ἱερόσυλος ὑπὸ τῆς Χιμαίρας διασπασθήτω. ὁ δὲ τύραννος, ὦ Ἑρμῆ, πρὸς τὸν Τιτυὸν ἐκτεταθείς, ὑπὸ τῶν γυπῶν κειρέσθω καὶ αὐτὸς τὸ ἧπαρ. ὑμεῖς δὲ οἱ ἀγαθοὶ ἅπτε κατὰ τάχος ἐς τὸ Ἠλύσιον πεδίον, καὶ ταῖς μακάρων νήσοις καπικεῖτε, αἰθ' ὧν δίκαια ἐποιεῖτε πρὸς τὸν βίον. Σω. Ἄκουσον ὦ Μίνως, εἴ σοι δίκαια δόξω λέγειν. Μ. Νῶν ἀκούσω αὖθις; οὐ γὰρ ἔξεστι λέγεσθαι ὦ Σώστρατε πονηρὸς ὤν, καὶ τοσούτοις ἀπεχθανώς; Σ. Ἐλπίζεσθαι μέν, ἀλλ' ὅμως εἰ δικαίως κολασθήσομαι. Μ. Καὶ πάνυ, εἴγε ἀποτίνειν τινὰ ἀξίαν δίκαιον. Σ. Οὕτως ἀποκρίναί μοι ὦ Μίνως. βραχὺ γάρ τι ἐρήσομαί σε. Μ. Λέγε, μὴ μακρὰ μόνον· ὅπως καὶ τοῖς ἄλλοις διακρίνωμεν ἤδη. Σ. Ὁπόσα ἔπραξα ἐν τῷ βίῳ, πότερα ἑκὼν ἔπραξα, ἢ ἐπικέκλωσό μοι ὑπὸ τῆς Μοίρας; Μ. Ὑπὸ τῆς Μοίρας δηλαδή. Σ. Οὐκοῦν καὶ οἱ χρηστοὶ ἅπαντες, καὶ οἱ πονηροὶ δοκοῦμεν ἡμεῖς, ἐκείνῃ ὑπηρετοῦντες, ταῦτα δρῶμεν. Μ. Ναί, τῇ Κλωθοῖ· ἢ ἑκάστῳ ἐπέπαξε γλωττίδιόν τι τὰ πραχτέα. Σ. Εἰ οὖν τις ἀναγκασθεὶς ὑπ' ἄλλου φονεύσειέν τινα, οὐ δικαίως αἰτιάσεται ἐκείνῳ βιαζόμενος, οἷον δήμιος ἢ δορυφόρος, ὁ μὲν, δικαστῇ πειθεὶς, ὁ δὲ, τυράννῳ, ἵνα αἰτιάσῃ τὸν φόνου; Μ. Δῆλον ὡς τὸν δικαστήν, ἢ τὸν τύραννον. ἐπεὶ οὐδὲ τὸ ξίφος αὐτό. ὑπηρετεῖ γὰρ τοῦτο, ὄργανον ὄν, πρὸς τὸν θυμόν, τῷ πρόπω

παραχρῆμα τὴν αἰτίαν. Σ. Εὖγε ὦ Μίνως, ὅτι καὶ ὑπὸ δικαστοῦ τοιούτου, ἧκιστα αὐτὸς χρυσὸν ἢ ἄργυρον νομίζων, ἵνα τῷ χάειν ἴσον, ἢ τίνα ἀεργίτην ἀναχαπτέον; Μ. Τὸν πέμψαντα, ὦ Σώκρατες. διάκονος γὰρ ὁ κομίσας ὧν. Σ. Οὐκοῦν ὁρᾷς πῶς ἄδικα ποιεῖς κολάζων ἡμᾶς, ὑπηρέτας γιγνομένους ὧν ἡ Κλωθὼ προστάττει; καὶ τύπτοις ἡμῶν τοὺς διακονησαμένους ἀλλοτρίοις ἀγαθοῖς; οὐ γὰρ δὴ ἐκεῖνό γε εἰπεῖν ἔχεις αὖ, ὡς ἁπλέγειν δυνατὸν ὧν τοῖς μετὰ πάσης ἀνάγκης παρεσκευασμένοις. Μ. Ὦ Σώκρατες, πολλὰ ἴδοις ἂν καὶ ἄλλα οὐκ ἐν λόγῳ γινόμενα, εἰ ἀκριβῶς ἐξετάζοις· πλὴν ἀλλὰ σὺ τοῦτο ἀπολαύσεις τῆς ἐπερωτήσεως, διότι οὐ λησὴς μόνον, ἀλλὰ καὶ σοφιστὴς ὡς ἔοικας εἶναι. ἀπόλυσον αὐτὸν ὦ Ἑρμῆ, καὶ μηκέτι κολαζέσθω. σὺ δὲ ἐμὲ καὶ τοὺς ἄλλους νεκροὺς ἐρωτᾶν τὰ ὅμοια διδάξεις.

ΤΩΝ ΔΙΩΝΟΣ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ ΒΡΑΧΥΤΕΡΩΝ ΛΟΓΩΝ ΤΙΝΕΣ.

ΓΕΡΙ ΝΟΜΟΥ ΛΟΓΟΣ.

ΕΣΤΙ ὁ νόμος, τῆς βίου μὴ ἡμῶν, τ' πόλεων ὃ ὄφελος κοινός· τῶν ὃ πραγμάτων, καλῶν δίκαιος· ὡς ὃν ἕκαστον ἀπευθύνειν δεῖ τὸν αὑτῆς τρόπον. εἰ δὲ μὴ, σκολιὸς ἔσται καὶ πονηρός. οἱ μὲν οὖν τῆς τρόπον φυλάττοντες, ἔχονται τῆς σωτηρίας· οἱ ὃ παραβαίνοντες, πρῶτον μὲν αὐτοὺς ἀπολλύουσιν, ἔπειτα καὶ τοὺς ἄλλους· παράδειγμα καὶ ζῆλον αὐτοὺς ἀνομίας καὶ βίας παρέχοντες. ὥσπερ δὲ τῶν πλεόντων οἱ τὸ πυροσβόλον διαμαρτάνοντες, οὕτοι μάλιστα σώζονται, ἐν τοῖς λιμένας διείσκουσιν· οὕτως οἱ κατὰ τὸν νόμον ζῶντες, ἀσφαλέστατα πορεύονται διὰ τοῦ βίου, καὶ τῆς καταφθορᾶς τῆς δεούσης τυγχάνουσιν. ἀνὴρ [illegible] μὲν οὖν ἤδη τις συμβούλῳ χρησάμενος, μετενόησεν· οὐ μέντοι νόμῳ. τοσούτῳ ὃ τῶν τειχῶν ταῖς πόλεσι χρησιμώτερός ἐστιν, ὥστε ἀτείχιστοι μὲν πολλαὶ τῶν πόλεων διαμένουσι· νόμου δὲ χωρὶς οὐκ ἔστιν οὐδεμίαν οἰκεῖσθαι πόλιν· οὐ μόνον ὃ συμφέρει τοῖς ἀνθρώποις, ἀλλὰ καὶ τοῖς θεοῖς. ὁ γοῦν κόσμος ἀεὶ τὸν αὐτὸν νόμον ἀκίνητον φυλάττει, καὶ τῶν αἰωνίων οὐδὲν ἂν παραβαίη τρόπον. ὅθεν, οἶμαι, καὶ βασιλεὺς εἰκότως ἀνθρώπων καὶ θεῶν κέκληται· τῷ μὲν βίαν καταλύων, τῷ δὲ ὕβριν καθαιρῶν, τῷ ὃ ἄνοιαν σωφρονίζων, τῷ ὃ κακίαν κολάζων· ἰδίᾳ ὃ καὶ κοινῇ πάντας τοὺς δεομένους ὠφελῶν. τοῖς μὲν ἀδικουμένοις βοηθῶν, τοῖς ὃ ἀπορουμένοις παρέχων μηνύων τὸ δέον. ὅταν γὰρ τις, συμβαίνοις αὐτῷ τινὸς δυσκόλου

πραγματος ζητῆ τὸ συμφέρον, οὐδὲν, οἶμαι, δεῖ φίλοις παρακαλεῖν, οὐδὲ συγγενεῖς, ἀλλὰ ἐλθόντα πρὸς τοὺς νόμους, πυνθάνεσθαι. καὶ γὰρ αὐτὸ τὸ οἰκεῖον σκοπῶν, χεῖρον ἐκείνῳ παραινέσειεν· οὔτε ἀγνοήσας τὸ βέλτιον, ὅτε δι' ἀχολίαν τινὰ, ἢ τὸ μὴ φροντίζειν, τοῖς κλεπτομένοις παραιτήσαιτ' ἄν. τοιαυτὸν γὰρ ἁπάντων ὁμοίως κήδεται, καὶ σχολὴν ἄγει πρὸς τὰ τῶν ἄλλων πράγματα· καὶ οὐδὲν ἴδιον οὐδὲ ἐξαίρετον ὄζιν αὐτῷ. ἐμοὶ τοσούτῳ γε τῆς πρὸς τῶν θεῶν μαντείας ὠφελιμώτερος ὄζι νόμος, ὅσῳ τοῖς μὴ χρησμοῖς ἤδη τινὲς ἠγνόησαν, καὶ δοκοῦντες πράττειν κατ' αὐτοὺς, ταῦτα ἐποίησαν· (ὅθεν οἶμαι συμφορᾶς ἐχρήσαντο) πρὸς τοῦ νόμου δ' οὐδὲν ὄζι σκολιὸν, οὐδὲ ἀμφίβολον· ἀλλ' ἁπλῶς ἅπαντα ἃ προσήκει τοῖς δεομένοις φράζει. ἄρχων δ' ἁπάντων ἐλεύθερος ὤν, χωρὶς ὅπλων ἐκ βίας κρατεῖ (τοιαυτὸν γὰρ αὐτὸς καταλύει τὴν βίαν) ἀλλὰ μετὰ πειθοῦς καὶ βουλομένων προσέρχεται. πείσας γὰρ πρότερον καὶ δοκιμασθεὶς, ὅτως νόμος γίγνεται, καὶ τὴν ἰσχὺν τὴν αὐτῷ λαμβάνει. τηλικαύτην δ' ἔχει δύναμιν ὥστε καὶ τοῖς θεοῖς οὗτός ὄζιν ὁ βοηθῶν. τοὺς γὰρ ἱεροσύλους, καὶ τοὺς πρασσαίνοντας τι πρὸς αὐτοὺς ἀσέβειαν κολάζει. καὶ μὴν αὐτόν γε οὐδὲ εἷς οἷός τέ ὄζιν ἀδικῆσαι. τῶν γὰρ πρασσαινόντων τὸν νόμον ἕκαστος οὐκ ἐκεῖνον ἀλλ' ἑαυτὸν βλάπτει. τοσαύτης δ' δικαιοσύνης καὶ φιλανθρωπίας μεστός ὄζιν, ὥστε καὶ τοῖς ἀτυχήσασι χρησιμώτερος καθέστηκε τῶν ἡβώντων προσηκόντων, καὶ τοῖς ἀδικουμένοις ἰσχυρότερος τῆς αὐτῶν ἐκείνων ῥώμης, καὶ πατράσιν υἱέων ἀνούστερος, καὶ παισὶ, γονέων, καὶ ἀδελφοῖς, ἀδελφῶν. πολλοὶ γοῦν ὑπὸ τῶν φιλτάτων ἀδικούμενοι πρὸς τοῦτον καταφεύγουσιν. εἰ δ' ἐκ μηδενὸς ὑπὸ μηδενὸς δὴ πέπονθεν ὁ νόμος, πᾶσιν ὅμως ἀεργήτης ὤν, ἑτέροις ἐκτίνει τὰς χάριτας, καὶ γονεῦσι πρὸς παίδων τὰς ὁμοίας κομιζόμενος, καὶ τοῖς ἰδίᾳ τινῶν ἀεργήτας, πρὸς τῶν δεδιωκότων, καὶ τοῖς κοινῇ φιλοδικουμένοις, πρὸς τῆς πόλεως. κάλλιστα δ' καὶ τὰς ἄλλας τῶν ἀεργιστῶν πεποίηκε, στεφάνους καὶ

κηρύγματα καὶ θεοσεβείας ἐχθρών· ἃ τοῖς μὲν παρέχουσιν οὐδεμίαν φέρει δαπάνην, τοῖς δὲ τυγχάνουσι, τὸ παντὸς ἄξια καθέστηκεν. ὃ, τι δὴ καὶ ἐθέλει τῶν ἀτελεστάτων, ἀνθρώπους τοῦτο μέγα καὶ ἅγιον ἐποίησεν. ἔστι δὲ ὁ τὸν κόσμον οὕτως μεγαλοπρεπῶς ἄξιον σοφοῦ δημιουργοῦ ἀποδείξας, καὶ τὰ σέλινα, καὶ τὸν πῖτυν, καὶ τὸν τοῦ θαλλοῦ στέφανον. ἔστι δὲ τὰ πάτρια ῥήματα, οἷς ἕκαστος κηρύττεται, τῶν ἀγαθῶν πολλοῖς ἀποφήνας τὸ ζῆν ἡμιῶτερα. οὗτός ἐστιν ὁ τοὺς πανηγύρεις σωφρόνων, ὁ τοῖς θεοῖς ἡμῶν, ὁ τῇ ἀρετῇ αὔξων· ἔστι δὲ ὁ τὴν θάλατταν καθαίρων, ὁ τὴν γῆν ἥμερον ποιῶν· ὁ τοῦ Διὸς ἐπώνυμος, ὁ τὴν ἀπλῆτον καὶ ὑπερβλητον ἰσχὺν ἔχων. τοσούτων ἁπάντων σωφροσύνῃ καὶ πίστει διαφέρων, ὥστε καὶ γυναικῶν κοινωνίαν, καὶ παρθένων ὄψεων, καὶ παίδων ἀκμὴν τούτῳ πάντες πεπιστεύκαμεν. ἐπεὶ δὲ παρθένου τῆς Δίκης οὔσης, μόνος αὐτῇ διὰ σωφροσύνην συνέστιν. ἔστι δὲ πόρρω γήρως, διδάσκαλος νεότητος, πενίας συνεργός, φύλαξ πλούτου· τῇ μὲν εἰρήνῃ σύμμαχος, τῷ δὲ πολέμῳ ἐναντίος. οὐ μόνον ἀλλὰ καὶ ἐν αὐτῷ τούτῳ πλέον ἰσχύει. τὸν γοῦν τῶν ἐχθίστων κήρυκα πεμπόμενον οὗτός ἐστιν ὁ σώζων καὶ διαφυλάττων, παντὸς θώρακος καὶ πάσης ἀσπίδος ἰσχυρότερον αὐτῷ δοὺς ὅπλον τὸ κηρύκιον· ἔστι δὲ τοῦ νόμου σύμβολον. διὰ τοῦτον τοὺς ἀποθανόντας οὐδεὶς ἐπικείμενος πολεμίους. οἱ δὲ τὸν ἔχθραν καὶ τὸν ὕβριν εἰς τὰ σώματα αὐτῶν ἐπιδείκνυνται. τοσούτῳ δὲ ταῖς πόλεσι χρησιμώτερός ἐστιν, ὅσῳ τὰ πηδάλια ταῖς ναυσὶν, ὥστε ἡμῖν ἀποβάλλουσα τοὺς οἰκείας ναῦς οὐκ ἂν ἀπόλοιτο, μὴ χειμῶνος καταλαβόντος· πόλιν δ' οὐκ ἔνι σωθῆναι, τοῦ νόμου λυθέντος, ὅτι μὴ ἂν μηδὲν ἔξωθεν συμβαίνῃ δεινόν. ὡς ἐπὶ τοῦ τῆς ἐν αὐτῷ διανοίας διοικεῖται καὶ σώζεται τὰ ἀνθρώπων ἕκαστος, ἢ δὲ ταύτης διαφοραὶ μανίαν καὶ ἀθεότητα φέρει· ἁπλουστέρως ἂν τις εἴποι τὸν νόμον ἐκ τοῦ νοῦ, καθάπερ, οἶμαι, τὸν νοῦν ἀπολωλεκὼς, εἰς παντελῆ μανίαν καὶ τὰ ἔσχατα ἀφικόμενος.

ΠΕΡΙ ΕΘΟΥΣ ΛΟΓΟΣ.

ΕΣΤΙ ὃ τὸ ἔθος, γνώμη μὲν χωρὶς κοινή, νόμος δὲ ἄγραφος ἔθνους, ἢ πόλεως· δίκαιον δὲ ἑκούσιον, καὶ ταῦτα, πᾶσιν ἀρέσκον· εὕρεμα δὲ ἀνθρώπων οὐδενός, ἀλλὰ βίου καὶ χρόνου. τῶν μὲν οὖν ἄλλων νόμων ἕκαστος ἅπαξ δοκιμασθείς, ἔλαβε πίστιν ἰσχυράν· τὸ δὲ ἔθος αὐτὸ ἀεὶ δοκιμάζεται, καὶ νόμος μὲν οὐδεὶς ῥᾳδίως ὑπὸ πάντων κριθήσεται· (ταῖς γὰρ τῶν πλεόνων δόξαις κυροῦται) ἔθος δὲ οὐκ ἂν ἐθέλων γένοιτο, μὴ προσδεχθὲν ὑπὸ πάντων. καὶ εἷς ἀπειλῶν καὶ βιαζόμενος, μόνος κύριος· ὑπὸ δὲ τῶν ἐθῶν πειθόμενοι, καὶ καλὰ καὶ συμφέροντα κρίνομεν αὐτά. διὸ μοι δοκεῖ ὀρθῶς ἂν προσκαίειν τὸν μὲν ἔγγραφον μόνον τῇ δυνάμει τῆς τυραννίδος· (φόβῳ γὰρ ἕκαστον καὶ μετὰ προστάγματος διαφθείρεται) τὸ δὲ ἔθος, μᾶλλον τῇ φιλανθρωπίᾳ τῆς βασιλείας. βουλόμενοι γὰρ αὐτὸ πάντες, καὶ δίκαια αἰτήσασθαι οἴονται. καὶ νόμους μὲν ἴσμεν πολλοὺς ἀνῃρημένους ὑπὸ τῶν θέντων αὐτούς, ὡς πονηρούς· ἔθος δὲ οὐκ ἂν οὐδεὶς ῥᾳδίως δείξειεν λελυμένον. καὶ μὲν τῷ παντὶ ῥᾴδιον ὄφελεῖν ὅ, τι βούλει τῶν ἐγγράφων, ἢ τῶν ἐθῶν. τὰ μὲν γὰρ ἂν ἀπαλείψῃς ἅπαξ, ἡμέρᾳ μιᾷ λέλυται· σωθῆναι δὲ πόλεως οὐκ ἔστιν εἰ μὴ ἐν πάνυ πολλῷ καταλύσαι χρόνῳ. καὶ εἶναι μὲν ἐν βαρέσιν ἢ σήραις φυλάττονται, τῶν δὲ ἕκαστον ἐν ταῖς ἡμετέραις ψυχαῖς. ἀσφαλέστερα δὲ καὶ κρείττων ἡ τοιαύτη φυλακή. καὶ μὲν ὁ μὲν ἔγγραφος νόμος, αὐστηρός ὅστις καὶ ἀπηνής· ἔθος δὲ οὐδὲν ἥδιον. ἔπειτα τοὶς νόμους παρ' ἄλλων μεθανόμεθα, τὰ δὲ ἔθη πάντες ὁπισάμεθα. καὶ εἶναι μὲν εἰσὶν οὐ βαρέως ἔνιοι γεγραμμένοι, καὶ διαφέρονται πολλάκις ὑπὸ τῆς τῶν ῥητόρων δυνάμεως· τῶν δὲ ἐθῶν οὐδὲν ἀμφίβολον, οὐδὲ σκολιόν, οὐδ' ἂν φθεγξαίτ' αὐτῶν λόγος. καὶ εἶναι μὲν ἀεὶ δεῖ μνημονεύειν, εἰ μέλλοιμεν αὐτοῖς ἐμμένειν· τὸ δὲ ἔθος οὐκ ἔστιν οὐδὲ βουλομένοις ὁπλαθέσθαι· ἀλλὰ τοιαύτην παρέχει φύσιν, ὥστε ἀεὶ ὑπομιμνήσκειν

αὐτούς. καθόλου γὰρ τοὺς μὲν νόμους φάναι τὰς αἱρέσεις δούλων πολιτείαν· τὰ δὲ ἔθη, τοὐναντίον ἐλευθέρων. ἐκεῖνοι μὲν γὰρ ποιοῦσιν εἰς τὰ σώματα κολάσεις· ἀπαγορεύουσι δὲ ἔθος, τὴν ζημίαν εἰσφέρειν συμβέβηκεν αἰσχύνῃ. ὥστε ἐκεῖνος μὲν, φαύλων, οὗτος δὲ ἀγαθῶν ἐστι νόμος. εἰ γὰρ ἅπαντες ἦσαν ἀγαθοὶ, δῆλον ὅτι τοῦ ἐγγράφων ἡμῖν οὐδὲν ἂν ἔδει. ἐπὶ τοῦ νόμου μὲν εἰσὶν οἱ βασιλεῖς ἐπάνω, καὶ πολλὰ παρέχουσι παρ' αὐτούς· τοῖς δὲ ἔθεσι κἀκεῖνοι καταδουλοῦνται. καὶ τοῦ μὲν ἐγγράφων οὐδὲν ἐν τοῖς πολεμίοις ἰσχύει· τὰ δὲ ἔθη φυλάττεται παρὰ πᾶσι, κἂν εἰς ἐμὲ τοῦτο ἔχθραν παρέλθωσι. τὸ γοῦν μὴ κωλύειν τοὺς νεκροὺς θάπτειν, οὐδαμοῦ γέγραπται· (πῶς γὰρ ἂν ὑπήκουον οἱ κρατοῦντες τοῖς τῶν ἡττωμένων ὑπαγόμασιν;) ἀλλ' ἔθος ὂν τοῦτο τοῖς φιλανθρώποις τούτοις τοῖς κατοικουμένοις τυγχάνειν. ὁμοίως τὸ τῶν κηρύκων ἀπέχεσθαι, καὶ μόνοις τούτοις πολλὴν ἀσφάλειαν παρέχουσι. τοῦ μὲν οὖν νόμου παραβαινόντων οὐδεὶς ἂν ὑπέδειξεν οὐδένα, οἶμαι, φανερῶς ὑπὸ τῶν θεῶν κεκολασμένον· Λακεδαιμόνιοι δ' ἐπεὶ παρέβησαν τῶν κηρύκων τὸ ἔθος, τοὺς παρὰ βασιλέως ἐλθόντας ἀπελόντες, ἐκολάσθησαν ὑπὸ τοῦ δαιμονίου.

ΠΕΡΙ ΒΑΣΙΛΕΙΑΣ ΚΑΙ ΤΥΡΑΝΝΙΔΟΣ ΛΟΓΟΣ.

ΚΑΙ μὴν εἴπερ ἀνδρὸς ἑνὸς οὐχ οἷός τε ἄρχειν ἐστὶ, καὶ τούτου σφόδρα ἐμοὶ ὄντος, ὡς δήξιώσειν, οὐδὲ αὖ μίαν ψυχὴν καταυθύνειν πῶς αὐτῷ, πῶς ἂν δυναίμην βασιλεύειν μυριάδων ἀναριθμήτων παντοδαπῶν, ὡς σοφὸν σὺ λέγεις; καὶ πολλῶν τε οἰκουμένων ὑπὲρ πέρασι γῆς, ὧν οὐδὲ ἑώρακε τοὺς πλείους, οὐδ' ἂν ἴδοι ποτὲ, οὐδὲ τῆς φωνῆς ξυνήσει; ὅμοιον γὰρ ὥσπερ εἴ τις λέγοι τὸν οὕτως ἀδυνάτου πῶς ὄψιν, ὡς μηδὲ τὰ ἐν ποσὶν ὁρᾶν, ἀλλὰ πρόσδεόμενον χειραγωγοῦ. τόπον ἀφικνεῖσθαι βλέποντα μέχρι τοῦ πλέθρου

ἀπεχόντων, ὥσπερ οἱ πόρρωθεν ὁρῶντες ἐκ τῶν πελάγους τὰ πόρη καὶ τὰς νήσους· ἢ τὸν ὑπὲρ Διὸς ἀμβολὸν φθέγγεσθαι τοῖς παρεσῶσιν, ἱκανὸν ὅλοις δήμοις καὶ στρατοπέδοις εἰς ὑπήκοον φθέγγεσθαι. καὶ γὰρ ὃν ἔχει τρόπον ἐγγυτάτω ὁ νοῦς τῆς ὄψεως· καὶ ὡς ἐκείνη διεφθαρμένη μόνη, οὐδὲν οὐδὲ τῶν πλησιώτατα ὁρᾷ, ὑγιὴς οὖσα, μέχρις ἡλίου τε καὶ ἄστρων ἐξικνεῖται· ταυτὸν δή τοῦτο, ἡ μὲν τοῦ φρονίμου διάνοια καὶ πάντας ἀνθρώπους ἱκανὴ γίνεται διοικεῖν· ἡ δὲ τοῦ ἄφρονος οὐδὲ ἓν σῶμα τὸ ἐκείνου δυνάται φυλάττειν, οὐδὲ ἕνα οἶκον. οἱ μὲν γὰρ πολλοὶ τῶν ἐν ταῖς δυναστείαις, ὅτι μὲν ἔξεστιν αὐτοῖς πάντα λαμβάνειν, πάντων ὀρέγονται· ὅτι δ' ἐπ' αὐτοῖς ἐστὶ τὸ δίκαιον, διὰ τοῦτο εἰσὶν ἄδικοι. ὅτι δὲ οὐ φοβοῦνται τοὺς νόμους, οὐδὲ εἰ νομίζουσιν. ὅτι δ' οὐκ ἀναγκάζονται πονεῖν, οὐδέποτε παύονται τρυφῶντες. ὅτι δ' οὐδεὶς ἀμύνεται κακῶς πάσχων, οὐδέποτε παύονται ποιοῦντες. ὅτι δὲ μιᾶς ἀπαντίζουσιν ἡδονῆς, οὐδέποτε ἐμπίπλανται ἡδόμενοι. ὅτι δ' οὐδεὶς φύγει ἐκ τοῦ φανεροῦ, οὐδεὶ ἀπολείπουσι τῶν μὴ δικαίως λεγομένων. ὅτι δ' οὐδεὶς αὐτοὺς βούλεται λυπεῖν, διὰ τοῦτο πᾶσι χαλεπαίνουσιν. ὅτι δ' ὀργισθῆσιν ἔξεστι πάντα ποιεῖν, διὰ τοῦτο συνεχῶς ὀργίζονται. ὁ δὲ ἀγαθὸς ἄρχων, ὥσπερ σὺ, πάντα πράττει· οὐδενὸς μὲν ὀρεγόμενος, διὰ τὸ πάντα οἴεσθαι ἔχειν· φείδεται δὲ τῶν ἡδονῶν, διὰ τὸ μηδεμιᾶς αὐτῶν ἀπορῆσαι ὀρεχθείς. δικαιότερος δὲ τῶν ἄλλων ὢν, ἅτε πᾶσι παρέχων τὴν δικαιοσύνην. ἥδεται δὲ τοῖς πόνοις, ὅτι ἑκὼν πονεῖ. ἀγαπᾷ δὲ τοὺς νόμους, ὅτι οὐ δέδοικε. καὶ ταῦτα ὀρθῶς ὑπολαμβάνει. τίνι μὲν γὰρ φρονήσεως δεῖ πλείονος ἢ τῷ τοιαῦτα βουλευομένῳ; τίνι δ' ἀκριβεστέρας δικαιοσύνης, ἢ τῷ μείζονι τῶν νόμων; τίνι δ' σωφροσύνης ἐγκρατεστέρας, ἢ ᾧ πάντα ἔξεστι; τίνι δ' ἀνδρείας μείζονος, ἢ τῷ πάντα σώζοντι; καὶ τίνων τῷ μὲν ἄλλων ἄρχοντι πολλῶν, τοῦτο μὲν, δαπάνης δεῖ παμπόλλης, τοῦτο δ', στρατοπέδων καὶ πεζικῶν καὶ ἱππικῶν· ἔτι δὲ τειχῶν, καὶ νεῶν, καὶ μηχανημάτων· εἰ μέλλει καθέξειν

μὴν τοὺς ὑπηκόους, ἀμυνεῖσθαι δὲ τοὺς πολεμίους, ἐὰν δέ τις ἀφίσηται τῆς ἀρχῆς, καταστρέφεσθαι. τὸ δ' αὐτὸν κρατεῖν, πάντων ἀδαπανητότατον καὶ ἀπραγμονέστατόν ἐστι, καὶ ἀκινδυνότατον. οὐδὲ γὰρ πολυδάπανος, οὔτε ἐρυθρόδης, οὔτε ὀθνεία λῆς ὁ τῆς ἐγκρατοῦς ἀνθρώπου βίος· ἀλλ' ὅμως τοιοῦτος ὤν, πάντων χαλεπώτατος πέφυκεν. ἐπεὶ Σαρδανάπαλος ἐκεῖνος ὁ θρυλούμενος εἶχε μὲν Νῖνον, εἶχε δὲ Βαβυλῶνα, τὰς μεγίστας τῶν πρότερον γεγονυιῶν πόλεων· ὑπήκουε δ' αὐτῷ πάντα τὰ ἔθνη τὰ νεμόμενα τὴν ἑτέραν ἤπειρον, μέχρι τῶν ἀοικήτων τῆς γῆς λεγομένων· βασιλείας δ' οὐδὲν ἧττον αὐτῷ πρόσκοον, οὐ μᾶλλον ἢ τῶν σπομένων ἔνι νεκρῶν· βουλεύεσθαι μὲν γὰρ, ἢ δικάζειν, ἢ στρατηγεῖν, οὔτε ἐβούλετο, οὔτε ἐδεύατο. ἐν δὲ τοῖς βασιλείοις, ἀποδιδράσκων εἰς τὴν γυναικωνῖτιν, καθῆστο ὅπου χρυσοπλάστου κλίνης ἀναβάδην ὑπὸ ἁλουργίσι πασοῖς· ὥσπερ ὁ θρυλούμενος ὑπὸ τῶν γυναικῶν Ἄδωνις· ὀξύτερον φθεγγόμενος ἀνούχων· τὴν μὲν τράχηλον ἀποκλίνων, ὑπὸ δ' ἀρχίας καὶ σκιᾶς, λευκός· ἐκ τρέμων, τὸ σῶμα πελιδνός, τοῖς δ' ὀφθαλμοῖς ἀνασκέφων, ὥσπερ ἐξ ἀγχόνης. ὃν οὐκ ἂν δέξαιμι τῶν παλλακῶν· καίτοι χρόνον τινὰ κατέσχεν, ὡς ἔδοκει, τὴν ἀρχὴν εἰκῇ φερομένην· ὥσπερ ναῦν δίχα κυβερνήτου πολλάκις ἀλωμένην, μηδενὸς κατέχοντος ἐν τῇ πηδάλῃ, καὶ τύχην ἀδίαις ἐπεχούσης, ἔπειτα ὀλίγος κλύδων ἐπαρθεὶς ἐκ ῥᾳδίως ἐνέκλυσε. ἐκ δὲ ἅρμα ἰδεῖν ἔστιν ἑδενὸς ἰσχυροῦντος ἐν ἀγῶνι ῥεμβόμενον, ὃ νίκης μὲν οὐκ ἄν ποτε τύχοι, ἐκ ἐκπέσοι δ' ἂν ἀπὸ τοῦ ἐγγὺς ὄχλου τῶν θεατῶν. ὅστε γὰρ ἄφρων, βασιλεὺς ἔσαι ποτέ, οὐ μᾶλλον ἢ τυφλὸς, ἡγεμὼν ὁδοῦ γένοιτ' ἄν· οὔτε ἄδικος, οὐ μᾶλλον ἢ κακὸν, σκολιὸς καὶ ἄνισος, ἄλλως προσδεόμενος κανόνος· ὅτε δειλὸς, οὐ μᾶλλον ἢ λέων, ἐλάφου λαβὼν ψυχήν· ἢ σίδηρος κηροῦ καὶ μολύβδου μαλακώτερος. τίνι δ' ἰσχυροτέρᾳ ἐγκρατείᾳ προσῆκεν, ἢ τῷ πλείστων μὲν ἡδονῶν ἐν μέσῳ ζῶντι

πλεῖσα δὲ πράγματα διοικοῦπ; ἐλαχίσην ἢ σχολὴ ἄγον-
π, ὑσῥ μεγίσων δὲ καὶ πλείσων φροντίζονπ;

ΠΕΡΙ ΕΛΕΥΘΕΡΙΑΣ
ΛΟΓΟΣ.

ΥΜΕΙΣ μὴ ἴσως θαυμάζετε, καὶ παράδοξον ἡγεῖσθε, καὶ οὐδαμῶς σωφρονοῦπας ἀνδρὸς, ὅσπις ἁπάντων ἀποσας πρεῖ ἃ οἱ πολλοὶ σπουδάζουσι, καὶ ὅπου τινὰ ἐάσας τῶν φέρεσθαι χρήματά τε καὶ δόξας καὶ ἡδονάς, οὔτε γεωργὸς, οὔτε ναύκληρος, οὔτε σραλιώτης, οὔτε σρατηγὸς πρέπειεν· ὑ σκυπτόμος, οὐ τέκτων, ὐκ ἰατρὸς, οὐ ῥήτωρ, ὐκ ἄλλό π σοιῆ σες πρᾶγμα κοινόν. οὕτωσὶ ἢ ἀπόπως ἰών τε καὶ ἀπιών, καὶ παρισάμβως ἔνθα μηδὲν αὐτῷ πρᾶγμά ὄσιν, ἀλλ' ὡς αὐ τύχη τε καὶ ὁρμήσῃ, βουλευτήρια μὴ καὶ θέατρα καὶ συλλόγους ἁθροίσας, ἐκκλησιάζων ἢ μόνος αὐτὸς, καὶ θεωρῶν οὐκ ὀρχουμένους, οὐδὲ ᾄδοντας, οὐδὲ πυκτεύοντας, οὐδὲ παλαίοντας, ἀλλ' ὠνουμένους καὶ βαδίζοντας, καὶ λαλοῦντας, καὶ μαχομένους· ποτὲ μὴ τύπτης ἅπασι πρσέχων τὸν νοῦν ἀλλ, καὶ περίμβως πολὺ μᾶλλον ἢ παῖδες ἐν ἀγορᾷ ἐν θέατρῳ· οὐ πρσκαταλαμβάνων, οὐδὲ ἀγχυπνῶν, οὐδὲ θλιβόμβος· ποτὲ ἢ αὖ μήτ' ἀκούων μηδενὸς, μηδ' ὁρῶν, ἀλλὰ μηδ' εἰδέναι νομίζων αὐτούς· ἐννοῶν ὃ βούλεται καὶ πράττων ἀδεῶς. ἐγὼ ἢ τοῦτο μὴ λαμπρὸν ἡγοῦμαι ἐν μακάριον, ἔπις ἐν οἰκίας ἐλεύθερος ἔῃ δυνάται, ἐν πόλει δὲ οὐκ ἔστιν αὐτόνομος. ὑσῥ οὐ πολλὰ μὴ Λυδοὶ Φρυξί, πολλὰ ἢ Φρύγες Λυδοῖς ἐπολέμησαν, πολλὰ δ' Ἴωνές τε καὶ Δωριεῖς, καὶ ξύμπαντα ἠρίθμηται. αὐόπτοι εἴδομεν αὐτονομίας ἔρωτι οὐδεὶς ἐγχειρήσειεν, οὐ τοῖς αὐτὸς αὐτῷ χρᾶσθαι νόμοις· οἱ ἢ ξύμπαντες πρεῖ τὸν Σόλωνος καὶ Δράκοντος ἐν Νομᾶ καὶ Ζαλεύκου νόμον ἐρίζουσιν, ὅπως τύπτοις ἀλλὰ μὴ τύπτοις ἔπωνται· μηδενὸς αὖ μηδὲ ἐκείνων οἷα ἐχρῆν ὑθέτων. Σόλωνα μὴπτοι καὶ αὐτὸν εἰδέναι φασὶν ὡς ὅτι αὐτῷ μὴ πρέ-

μὴ ἀρέσκοντα εἰσηγεῖτο Ἀθηναίοις, ἀλλ' οἷς αὐτοὶ ὑπε-
λάμβανε χρῆσθαι. δῆλον οὖν ὅτι πονηροῖς ἔχαφε νόμοις,
εἴπερ τοῖς ἀρέσκοντας πονηροῖς ἔχαφεν. ἀλλ' ὅμως ἐς αὐ-
τὸς τύποις ἐχρῆτο, πονηροῖς τε οὖσι καὶ οἷς ἀρέσκουσιν αὐ-
τῷ. δῆλον οὖν ὅτι τούτων μὲν οὐδενὶ μετεῖῶ αὐτονομίας, οὐ-
δὲ ἐπαύδαζον, οὐδὲ ἐπολέμουν ὅπως ὦσιν ἐλεύθεροι· ἀλ-
λὰ γὰ ἄφθονόν τε καὶ πολλὼ δουλείαν ἐντὸς τῶ τειχῶν ἐς-
καθείρξαντες, ἔπειτα ἐπάλξεσι ἐς πύργοις καὶ βέλεσιν ἠ-
μυόντο, ὅπως μὴ εἰσίοιεν ἔξωθεν παρ' αὐτούς· ὥσπερ ἔπις
νεὼς διερρηγμένης, κλύδωνος ἔνδον ὄντος, φυλάττοιτο κὴ
πρόχματα ἔχοι μή ποτε ἄνωθεν ὑπορβάλῃ. καθάπερ οὖν
φασὶ τοὺς Τρῶας ὑπὸρ τῆς Ἑλένης πολιορκεῖσθαι καὶ ἀπο-
θνήσκειν, οὐκ ἔνδον οὔσης, ἀλλ' ἐν Αἰγύπτῳ· τοῦτο πάθος ἔ-
τοι πεπόνθασιν· ὑπὸρ τῆς ἐλευθερίας ἐμάχοντο καὶ ἠγω-
νίων, οὐκ οὔσης παρ' αὐτοῖς. ἀλλ' ὅμως ἐκεῖνοί τε ἔλεγον
πάντα πάσχειν ὑπὸρ τῶ νόμων, καὶ νῦν φασὶν ἐν τύποις εἶ-
ναι δίκαιον, ὁπόταν αὐτοὶ δυστυχεῖς ὄντες συγγράφωσιν, ἢ
παρ' ἄλλων ὁμοίως παραλάβωσιν. νόμον γὰ τὸν ἀληθῆ καὶ
ἄριστον καὶ φανερὸν οὔτε ὁρῶσιν, οὔτε ἡγεμόνα ποιοῦνται τῦ
βίῦ. τοιγαροῦν ὥσπερ ἐν μεσημβρίᾳ λάμποντος ἡλίῦ δᾷ-
δας ἰᾶσι, καὶ δαλοὺς ἀράμβοι, τὸ μὲν θεῖον φῶς ἐλάσαν-
τες, καπνῷ γὰ ἐπόμβοι καὶ μικρὸν ἄθυμα δεικνύῦσι πυ-
ρός. ὁ μὲν οὖν τῆς φύσεως νόμος ἀφεῖται καὶ λέλοιπε
παρ' ὑμῖν ὦ κακοδαίμονες, ἄξονας γὰ καὶ γραμματεῖα καὶ
στήλας φυλάττετε, καὶ αἰωφελῆ σίγματα· καὶ τὸν μὲν τοῦ
Διὸς δεσμὸν πάλαι παρέβητε, τὸν γὰ τῦ δεῖνος ἢ τὸν τῦ δεῖ-
νος ὅπως μηδεὶς παραβήσεται σκοπεῖτε· καὶ τῇ ἀρᾷ ἣν
Ἀθηναῖοι περὶ τῶ Σόλωνος ἔθεντο νόμων τοῖς ὑπεχροῦ-
σι καταλύειν, ἀγνοεῖτε κωλυτέαν οὖσαν ὑπὸ τοῖς ἐκείνου
νόμοις. πᾶσα γὰ ἀνάγκη τὸν σωέχοντα τὸν δεσμὸν, Ἀθη-
ναίων ἐπάρχειν. πλὼ παῖδας καὶ γῆρος οὐκ ἐπέξεισιν,
ὡς ἐκεῖ, τῶ ἀμβοτανόντων, ἀλλ' ἕκαστος αὐτῶν γίγνεται τῆς
ἀτυχίας αἴτιος. τὸν οὖν ὑπεχροῦντα τῦτον σώζειν, ὡς αὖ

οἷός τε ἦν, καὶ τὸ γε καθ' αὑτὸν φυλάττειν, οὐδέποτε ἂν μὴ φρονεῖν φαίην ἔγωγε. πολὺ ὑμᾶλλον ὑμᾶς θαυμάζω, ἐλεῶ τῆς ἀλεπτῆς καὶ ἀθλίου δουλείας, ἐν ᾗ ζῶντες αὐτοὶς ἔχετε· οὐχ ἑνὶ δεσμῷ μόνον ἀθυβαλόντες, οὐδὲ δυσὶν, ἀλλὰ μυρίοις, ὑφ' ὧν ἄγχεσθε πολὺ μᾶλλον τῶν ἐν ἀλύσει τε καὶ κλοιῷ καὶ πέδαις ἑλκομένων. τοῖς μὲν γὰρ ὅτι καὶ ἀφεθῆναι, καὶ δραπέτας φυγεῖν· ὑμεῖς δὲ ἀεὶ μᾶλλον κρατύνεσθε τὰ δεσμά, καὶ πλείω καὶ ἰσχυρότερα ἀπεργάζεσθε. ἃ μὴ, ὅπ οὐχ ὁρᾶτε αὐτὰ, ψυδῆ καὶ ἄπιστον ἡγεῖσθε τόνδε τὸν λόγον· σκοπεῖτε δὲ Ὁμήρου τὸ καθ' ὑμᾶς σοφώτατον, ποῖ' ἄττα δεσμὰ τὸν Ἄρη φησὶ κατασχεῖν,

Ὠκύτατον θεῶν οἳ Ὄλυμπον ἔχουσιν·
Ἠύτ' ἀράχια λεπτὰ, τά κ' οὔ τις οὐδὲ ἴδοιτο.

μὴ οὖν οἴεσθε τὸν μὲν Ἄρη, θεὸν ὄντα καὶ ἰσχυρὸν, οὕτως ὑπὸ λεπτῶν τε καὶ ἀοράτων πεδηθῆναι δεσμῶν· αὐτοὺς δὲ πάντων φαυλοτάτους ὄντας μὴ αἴ ποτε ἁλῶναι δεσμοῖς ἀφανέσιν, ἀλλ' εἰ μὴ σιδήρου τε καὶ χαλκοῦ δύ' πεποιημένα εἴη. τὰ μὲν οὖν σώματα ὑμῶν, οἷα δὴ σαρκία, καὶ τὸ πλέον ἀρχῆς γέμοντα, τοιούτων δεῖ τῶν κρατησόντων· ψυχὴ δὲ ἀοράτου τε καὶ λεπτῆς φύσεως, πῶς ἂν δεσμῶν τοιούτων τυγχάνοι, ἢ τὸν Ἥφαιστον αὐτόν; ὑμεῖς δὲ σεσηρόσι καὶ ἀδαμαντίνοις πεποίησθε, πάσῃ μηχανῇ πλεξάμενοι, καὶ τὸν Δαίδαλον αὐτὸν ὑπερβεβληκότες τῇ τέχνῃ τε καὶ ἀσυδῇ· ὥστε τὸ πᾶν ὑμῶν μέρος τῆς ψυχῆς καταδεδέσθαι, καὶ μηδὲν ἐλεύθερον εἶναι, μηδὲ αὐτόνομον. τί γὰρ ἡ Κνωσίων εἰρκτὴ, καὶ τὸ τοῦ Λαβυρίνθου σκολιὸν, πρὸς τὴν σκολιότητα καὶ τὸ δυσεύρετον τῆς ἀφροσύνης; τί δ' ἡ Σικελικὴ φρουρὰ τῶν Ἀττικῶν αἰχμαλώτων, οἷς εἰς πέτραν ἕνα ἐνέβαλον; τί δ' ὁ Λακάνων Κεάδας, ἢ τὸ τῶν Περσῶν οἴκημα μεσὸν τέφρας; ἢ νὴ Δία, εἴ τινες κόρας χαλκοῖ πατέρες (ὡς ὁ τῶν ποιητῶν λόγος) χαλκέων πρεσβύλων ἐφρούρησαν εἰρκτάς. οὐδὲ τῶν νήφειν ἐν τοῖς λόγοις ἕπομαι δικῶ, τῶν ἀνθρωπίνων συμφορῶν μνησθεὶς ὅτι πλέον, ἢ τῆς

ἀίχμας καὶ δυσχεροῦς δουλείας, ἵν' δεδούλωσθε πάντες· ὅθεν νημάτων ὄζιν οὐ λεπτῶν ἀπορήσαντας ἐξελθεῖν, βοηθείᾳ κόρης ἄφρονος, ὡς φασὶν ἐκεῖνον Θησέα φασὶν ἐκ Κρήτης σωθῆναι· εἰ μή τις αὐτῆς, οἶμαι, τῆς Ἀθηναῖς παρεισαμβής, καὶ σωζούσης ἅμα. εἰ γὰρ ἐθέλοιμι πάσας εἰπεῖν τὰς εἱρκτὰς καὶ τὰ δεσμὰ τῶν θητῶν τε καὶ ἀθλίων ἀνθρώπων, οἷς ἐγκλείσαντες αὐτοὺς ἔχετε, μὴ σφόδρα ὑμῖν ἀπηνής τε καὶ φαῦλος δόξω ποιητὴς, ἐν οἰκείοις βαγῳδῶν πάθεσιν. οὐ γὰρ μόνον, ὡς οἱ δόξαντες ὑμῖν κακοῦργοι, πιέζονται βαχίλαι τε καὶ χειρῶν καὶ ποδῶν, ἀλλὰ γαστρός· καὶ τῶν ἄλλων μερῶν ἕκαστον ἰδίῳ δεσμῷ τε καὶ ἀνάγκῃ κατειλημμένον. οἱ δὲ εἰσὶ ποικίλοι τε καὶ πολύτροποι. καί μοι δοκεῖ τις ἂν ἰδὼν ὄψι, περισθῆναί τε καὶ σφόδρα ἄγασθαι τὴν ἐπίνοιαν. περὶ τὴν μὲν γὰρ, οἶμαι, πρὸς ἕκαστον ὄζιν δέσμοινα, χαλεπὴ μὲν ἄλλως καὶ δυσμενὴς καὶ ἐπίβουλος ἰδεῖν· εἰ δ' ἄρα καὶ μεταδιῶσα περισαπαντᾷ, σφόδρα νιν μάλα ποιον. χαλεπὴ γὰρ ἡδονὴ καὶ φέρειν δεσμὰ κατὰ τὴν αὐτῆς φύσιν ἀναθῆ, καὶ μαλακὰ περὶ τῷ, οἷς εἰκὸς ὄζι καταδεῖσθαι βασιλεῖς ἢ τυράννους, καὶ πάντας ὅσοι μακαρίων παῖδες κέκληνται. τούτων γὰρ χαλεπώτερον ὐδὲν, ὐδὲ μᾶλλον ἐμφύεται καὶ πιέζει. μετὰ γὰρ τοῦτο ἦλθεν ἑτέρα, κλοιόν τινα φέρουσα χρυσοῦν, ἢ ἀργυροῦν. τόπον γὰρ περιθεῖσα, ἕλκει μὲν ἰδιώτας περὶ πᾶσαν γῆν καὶ θάλασσαν, ἕλκει γὰρ βασιλεῖς, καθ' Ἡσίοδον· σύρει γὰρ πόλεων στρατηγοὺς ὄπισθε πύλας, ὥστε ἀνοίγειν καὶ περιδιδόναι. φασὶ γὰρ καὶ δεῖσθαι τούτων οὓς ἂν ἀπολύῃ, καὶ ποιεῖν ἀδαίμονας. ὡς γὰρ Ἀγυάγλῳ ποτὲ Κῦρος ἐν χρυσοῖς ἔδησε πέδαις, ὡς ἂν δηλονότι πάππου κινδύνους. πολὺ δὲ ἂν ἔργον εἴη διεξιέναι καὶ πάσας τὰς ἰδέας τῶν δεσμῶν· ἕνα δ' οὖν ἄξιον εἰπεῖν μὴ παρεῖναι, τὸν ἐνδοξότατον αὐτῶν καὶ ποικιλώτατον, ὃν ἡ χαλεπωτάτη φέρει δέσμοινα, χρυσῷ καὶ ἀργύρῳ, καὶ παντοίοις λίθοις τε καὶ ψήφοις, καὶ ζώων κέρασι καὶ ὀδοῦσι, καὶ ὀστράκοις, ἔτι δ' ἀλουργέσι βαφαῖς, καὶ ἑτέροις μυρίοις ἔσιν, ὡς ὄντως ὄρμον πολυτελῆ καὶ θαυμαστὸν,

ἀσκήσασα, καὶ πολλὰ ἄλλα ἐν αὐτῷ σχήματά τε καὶ μορφὰς μιμησαμένη, σφαίρους, καὶ σκῆπτρα, καὶ λάρνακας, καὶ θρόνους ὑφηλούς· καθάπερ οἱ τεκτονικοὶ τεχνῖται κλίνας ἄλλας, ἢ θύρας, ἢ ὀροφὰς οἰκιῶν κατασκευάζοντες, ἔπειτ' ἄπτα μηχανῶνται φαίνεσθαι. λέγω δή, οἷον θυρῶν ἐξοχὰς θηρίων κεφαλὰς ἀπεικάσαντες, καὶ κιόνων ὁμοίως. ἔπειτα δὲ καὶ ἦχος ἐν τούτῳ, καὶ φωνὴ παντοία κρότων τε καὶ ποππυσμῶν· καὶ ἤχει ταῦτα τὰ δεσμά. πάλιν αὖ τὸν τοῦ βαδίζειν ῥυθμὸν τοῖς τε καὶ βασιλεῦσιν. ἀλλ' ὅπως μὴ πόρρω που αὐτοὶ φερώμεθα ἔξω τῆς εἰκόνος, ὡς δὴ ὄντως εἰδώλῳ τινὶ λόγου ἑπακολουθοῦντες (ὡς Ὅμηρος Ἀχιλλέα ἐποίησε τῷ τοῦ Ἀντιλόχου ἑπόμενον μακρὰν ἀπελθεῖν) ἱκανῶς ἔχει.

ΠΕΡΙ ΟΜΟΝΟΙΑΣ ΕΝ ΝΙΚΑΙΑ, ΠΕΡΑΥΜΕΝΗΣ ΤΗΣ ΣΤΑΣΕΩΣ, ΛΟΓΟΣ.

ΕΓΩ χαίρω ἀμώμητος ὑφ' ὑμῶν, ὡς δὴ εἰκὸς ὄντι χαίρειν τὸν ἄνδρα τὸν σώφρονα, ἀμώμητον ἔτι πόλεως ἀγαθῆς καὶ λόγου ἀξίας· ὡς δὴ ἡ ὑμετέρα πόλις, κατά τε ἰσχὺν καὶ μέγεθος οὐδεμιᾶς ἥττω μοίρᾳ τῶν ὁπόσαι ἐνδόξων· ἤθους τε γενναιότητι, καὶ πλήθους σωοικήσει τῶν φανερωτάτων ἠθῶν· οὐκ ἀλλαχόθεν ἄλλων συνελθόντων, φαύλων καὶ ὀλίγων, ἀλλὰ Ἑλλήνων τε τῶν ἀρίστων, καὶ Μακεδόνων· τὸ δὲ μέγιστον, ἥρωάς τε καὶ θεοὺς οἰκιστὰς λαβοῦσα. ἁρέπει δὲ τοῖς ὑπὸ θεῶν ὡκισμένοις εἰρήνη, καὶ ὁμόνοια, καὶ φιλία πρὸς αὐτούς· αἰσχρὸν γὰρ εἰ μὴ σφόδρα δυσδαίμονες ἔσονται, καὶ θεοφιλεῖς, καὶ δυσίσουσί γε τῶν ἄλλων ἀτυχίᾳ· βουλόμενοι γε ἁπλῶς ὑπαδεικνύειν τὸ τῶν ἠθῶν, ἀλλὰ μὴ ψυδῆ καὶ μάταιον λόγον. θεοὶ γὰρ οἰκισταὶ καὶ συγγενεῖς καὶ προπάτορες οὐδὲν οὕτως ἐθέλουσι τοῖς αὑτῶν ἔχειν, ὅτε χώρας κάλλος, οὔτε καρπῶν ἀφθονίαν, οὔτε πλῆθος αὖ-

θρώπων, ὡς σωφροσύνῃ, καὶ ἀρετῇ, καὶ πολιτείαν νόμιμον· καὶ τῷ μὲν ἀγαθῶν πολιτῶν ζημίᾳ, τῷ δὲ κακῶν ἀτιμίαν. ὡς ἔγωγε ἥδομαι νῦν ὁρῶν ὑμᾶς ἓν μὲν χῆμα ἔχοντας, μίαν δὲ φωνὴν ἀφιέντας, ταυτὰ δὲ βουλομένους. ποῖον μὲν γὰρ θέαμα κάλλιον πόλεως ὁμοφρονούσης; ποῖον δὲ ἄκουσμα σεμνότερον; ποία δὲ βουλεύεται πόλις ἄμεινον τῆς ἅμα βουλευομένης; ποία δὲ ἁμαρτέστερον πράττει, τῆς ἅμα πραττούσης; ποία δὲ ἧττον ἀποτυγχάνει τῆς ταυτὰ βουλευομένης; ζίσι μὲν ἥδιον τἀγαθὰ τῶν ὁμονοούντων; ζίσι δὲ κουφότερα τὰ λυπηρὰ τῶν κοινῇ φερόντων, ὡς πρὸς βάρος; πίσι δὲ ἀσφαλέστερον συμβαίνει τὰ χαλεπὰ τῶν ἀλλήλοις φυλαττόντων; ποία μὲν τοῖς πολίταις πρόσφιλεστέρα πόλις, ποία δὲ ζημιωτέρα τοῖς ξένοις; ποία δὲ χρησιμωτέρα τοῖς φίλοις; πίς δὲ τοῖς ἐχθροῖς φοβερωτέρα; ὁ μὲν γὰρ ζίνων μὲν ἔπαινος δοκεῖ πιστότερος, ὁ δὲ πίνων δὲ ψόγος, ἀληθέστερος; πίνες δὲ μᾶλλον τοῖς κρατοῦσι πλείονος αἰδοῦς τυγχάνουσι; ζίνες μὲν ἰσοζυμότεροι τοῖς κρατοῦσι, ζίνας δὲ μᾶλλον οἱ κρατοῦντες αἰδοῦνται; πίνας μὲν οὕτως ἀγαπῶσιν οἱ χρηστοὶ ἄρχοντες, ζίνων δὲ ἧττον καταφρονοῦσιν οἱ πονηροί; οὐ γὰρ δῆλον ὅτι τοῖς μὲν ὁμονοοῦσιν οὐ μόνον οἱ κρατοῦντες, ἀλλὰ καὶ οἱ θεοὶ συνέχουσιν; οἱ δὲ σαπράζοντες οὐδὲ αὐτῶν ἀκούουσιν; οὔτε γὰρ τῶν ἀσυμφώνων χορῶν οὐδεὶς ἀκούει ῥᾳδίως ἃ, τι λέγουσιν, οὔτε τῶν διαφερομένων πόλεων. ποῖα δὲ οἰκοδομήματα, πόσαι δὲ χῶραι, πόσον δὲ πλῆθος ἀνθρώπων, ἰσχυρότερον δῆμον ἀποφαίνει τῆς πρὸς αὐτὸν ὁμονοίας; ὁπόσοι γὰρ ἂν ὦσι πολῖται τῆς ὁμονοούσης πόλεως, τοσοῦτοι μὲν ὀφθαλμοὶ ὁρῶσι τὸ ἐκείνης συμφέρον, τοσαῦται δὲ ἀκοαὶ ἀκούουσι, τοσαῦται δὲ γλῶτται παραινοῦσι, τοσαῦται δὲ διάνοιαι φροντίζουσι. διαφέρουσι γὰρ οὐδὲν ἢ εἷς θεῶν οὕτω μεγάλης καὶ πολυανθρώπου πόλεως μίαν ψυχὴν ἐπίσης. ὡς οὔτε χημάτων πλῆθος, οὔτε ἀνθρώπων, ὅτε ἄλλη δυνάμις ξυνωμόκει τοῖς διαφερομένοις, ἀλλὰ τοὐναντίον πάντα ταῦτα πρὸς βλάβης μᾶλλον ὁρᾷ· καὶ ὅσῳ ἂν πλείονα

ὑπάρχῃ, τοσούτῳ μείζονος καὶ χαλεπωτέρας. ὥσπερ οἶμαι
καὶ τῶν σωμάτων τῷ μὴ ὑγιαίνοντι συμφέρει τὸ μέγεθος καὶ
τὸ πλῆθος τῶν σαρκῶν, τῷ δὲ νοσοῦντι καὶ φαύλως ἔχοντι
σφαλερωτάτη ὄντι ἡ τοιαύτη ἕξις, καὶ ὀξύπαιον ἐπάγει κίν-
δυνον. ὁμοίως δὲ καὶ ναῦς ἥτις ἂν μετὰ ὁμονοίας πλέῃ τῷ
κυβερνήτου καὶ τῶν ναυτῶν, αὐτή τε σώζεται καὶ σώζει τοὺς
ἐμπλέοντας· εἰ δὲ μή, ὅσῳ πλείω τὰ ἰσία, τοσούτῳ σφοδρό-
τερον τὸν χειμῶνα καὶ τὴν θαλάτταν μείζω συμβαίνειν ἀ-
νάγκη. τὸ αὐτὸ τοῦτο δὴ καὶ ἅρματος. ὧν μὲν ὁ ἡνίοχος ἄρ-
χειν δύναται κατὰ τρόπον, οἵ τε ἵπποι ὁμοφρονοῦντες καὶ
πειθόμενοι ὦσιν, ἐλπὶς ὅτιν ἐν μὲν ἀγῶνι νικᾶν, ἐν δὲ πολέ-
μῳ σώζεσθαι τὸ τοιοῦτον ἅρμα· ταραχῆς δὲ καὶ θορύβου ἐν-
ούσης, τοσούτῳ μείζων ὁ κίνδυνος ὅσῳ ἂν ἰσχυρότεροι ὦσιν
οἱ ἵπποι καὶ ταχύτεροι. ὡς ἁπλουστέρως δὲ καὶ πόλει ὁμονοού-
σῃ πάντα τὰ τοιαῦτα χρήσιμά ἐστι, εὐουσία χρημάτων, καὶ
πλῆθος ἀνθρώπων, καὶ ῥώμη καὶ δόξα καὶ δύναμις· εἰ δὲ
μή, δυσχρηστα καὶ χαλεπά· οἷον ἐν ταυτῷ στρεφομένων θη-
ρίων πολλῶν, ἢ βοσκημάτων, ἑνὸς ἕρπητος εὐβόλου, καὶ
ἁπτόντων τε ἄλληλα καὶ πατούντων, καὶ ἐμβαινόντων
ἀλλήλοις. δὴ εἰ μὴ ὑγιαίνων ἐτύγχανον, οὐκ ἂν ἀπέσην
τοῦ λόγου πρὶν ἱκανῶς αὐτὸν διελθεῖν, καὶ τὴν ἐμαυτοῦ δύ-
ναμιν· νῦν δὲ ὑμεῖς τε ἴσως σοφοὶ ἑτέροις ἐστὲ μᾶλλον, κἀ-
γὼ πολὺ καταδεέστερα ἔχω ἢ σοφὸς τὸ μέγεθος τοῦ ἀγῶνος.
τὸν οὖ βραχύτατον καὶ αἰσιμώτατον λόγον καταλείπε-
ται εἰπεῖν τὸν σοφὸς τοὺς θεούς. οὗτοι γὰρ καὶ τῶν μικρὸν φθέγ-
γεσθαι ἃ διανοοῦνται ἴασιν. ἴσως γὰρ καὶ τοῦτο τὸ σοφόν
ἀνοσιώτατόν ἐστιν· ὥσπερ οἱ χρηστοὶ πατέρες τοῖς παισὶν ἃ
μὴ δίκαια παραινοῦσιν, ἃ δ' ἂν μὴ πείθωσιν, δύχονται
τοῖς θεοῖς ὑπὲρ αὐτῶν. εὔχομαι δὴ τῷ τε Διονύσῳ τῷ πα-
τρῴῳ τῆσδε τῆς πόλεως, καὶ Ἡρακλεῖ τῷ κτίσαντι τήνδε
τὴν πόλιν, καὶ Διὶ πολιεῖ, καὶ Ἀθηνᾷ, καὶ Ἀφροδίτῃ φι-
λίᾳ, καὶ Ὁμονοίᾳ, καὶ Νεμέσει, καὶ τοῖς ἄλλοις θεοῖς, ἀ-
πὸ τῆσδε τῆς ἡμέρας τῇδε τῇ πόλει πόθον ἑαυτῶν ἐμβα-

λεῖν, καὶ ἔρωτα, καὶ μίαν γνώμην, καὶ ταὐτὰ βούλεσθαι καὶ φρονεῖν· εἰσὶν δὲ καὶ ἔριδες, καὶ φιλονεικίαν ἐμβαλεῖν, ὡς αἱ ἐν τοῖς δαμοσιωτάταις καὶ ἀρίσταις πόλεσι πολλοῖς.

ΠΕΡΙ ΟΜΟΝΟΙΑΣ ΠΡΟΣ ΑΠΑΜΕΙΣ, ΛΟΓΟΣ.

ΟΤΙ μὲν ὑμεῖς, ὦ βουλή, καὶ τῶν ἄλλων οἱ παρόντες οἱ μετειώτατοι, σφόδρα σφᾶς ἐμὲ καὶ φιλικῶς ἔχετε, δοκῶ μοι τοῦτο γιγνώσκειν. αὐτός τε γὰρ ἐμαυτὸν οἶδα σφὶ πολλοῦ ποιούμενον τὴν παρ' ὑμῶν εὔνοιαν, καὶ μηδέποτε μηδὲν ἐναντίον μήτε εἰπόντα, μήτε πράξαντα. καὶ ὑμεῖς ἄθλοις ἐμὲ ἀφικόμενον ἐτιμήσατε δημοσίῳ ψηφίσματι, πέμψαντες, οἱ συνοδόμενοι τῆς ὁδοῦ, καὶ σφᾶς καλοῦντες ἐπὶ δεῖπνον σφᾶς αὐτούς. καὶ ἴσως οὐδὲν ἐποιεῖτε θαυμαστόν. οὐ γὰρ μόνον αἱ λοιπαὶ πόλεις ἀλλὰ καὶ τῶν ἰσοτίμων ὑμῖν αἱ πλεῖσται σφόδρα, ὅπου γέγονα, καὶ πολιτείας καὶ βουλῆς καὶ τῶν σφετέρων ὑμῶν οὐδὲν δεόμενόν με ἐδέξαντο, οὐκ ἀνωφελῆ, φημί, νομίζοντες, οὐδὲ ἀνάξιον ὑμᾶς θαι. τὸ δ' ὑμέτερον οὐκ ἔστιν ἀλλότριον, ἀλλ' ὡς ἀληθῶς καὶ χαίειν παιδὸς ὑμῶν πολίτου αὐτῆς. τὸ δὲ εἶναι, ὡς ἂν ἐγὼ δείξω, τῶν ἐνθάδε ἐμοὶ σφόδρα ἡδομένοις, οὐκ ἂν θαυμάσαιμι, διὰ τὴν τῶν πόλεων φιλοτιμίαν. καίτοι ὀπίσω μὲν σαφῶς οὐδὲ τοὺς ἐκεῖ πολίτας ἅπαντας ἑρέσθαι δυνάμενος, ἀλλ' ἐνίους δ' αὐτῶν τοῦτο ἀχθομένους ὅτι λίαν δοκῶ φιλόπολις καὶ σφόδρα. δεῖ δὲ τὸν ὀπαδικὸν καὶ μέτριον ἄνδρα καὶ ταύτην παρέχειν τὴν ἐξουσίαν τοῖς ἑαυτοῦ πολίταις. τὸ γὰρ μηδένα ἐν πόλει μήτε αἰτιᾶσθαι ἐνί, μήτε μέμφεσθαι, κἂν ἅπαντα φαίνηται ποιῶν κακῶς, οὐ δήμων ἐστὶν, οὐδὲ ὀπαδικῆς, ἀλλὰ μᾶλλον φιλεῖ τὸ τοιοῦτον συμβαίνειν τοῖς τυράννοις ἢ τοῖς ἀρχέταις.

εἰ οὖν εἰσί τινες πρὸς ἐμὲ δυσκόλως διακείμενοι, τούτοις μάλιστα πιστεύω. δῆλον γὰρ ὡς νομίζοντές με ἀγαπᾶν τὴν ἐμαυτοῦ πατρίδα, καὶ πάντα ὅπου αὔξειν, οὕτως ἔχουσιν. ἐὰν οὖν πεισθῶσιν ὅτι καὶ ταύτην ἡγοῦμαι πατρίδα, καὶ πρόθυμον ἐμαυτὸν αὐτῆς ὅ, τι ἂν δύνωμαι πρόθυμος εἰμὶ, ῥᾳδίως μεταβαλοῦνται, καὶ ἀγαπήσουσί με τοῖς ἄλλοις ὁμοίως. τὸ μὲν οὖν φιλεῖν τὴν πατρίδα μάλιστα πάντων, οὐκ ἄξιον ἐστὶ· πιθάνομαι δ' αὐτὸ, εἴ τινα ἀδίκου νομίζουσιν ἄνδρες εἶναι καὶ μοχθηρόν, καὶ πολίτην τοιοῦτον οὐκ ἂν ἐθέλοιεν εἶναι παρ' αὑτοῖς. οὐκοῦν ἄξιον ὑμῖν ἔχειν καὶ ἐμὲ πολίτην ἀνυπόπτως, καὶ τῶν ἄλλων τοὺς βελτίστους. καὶ τοίνυν δι' αὐτό μοι τοῦτο πιστεύσατε ἂν δικαιότερον. ὅστις μὲν γὰρ ἀγνώμων πρὸς τοὺς φύσει γονέας, οὐκ ἂν ἡγοῖτο ὅσιος οὐδὲ πρὸς τοὺς θρεμένους αὐτόν· ὁ δὲ τοὺς ἡγνηκότας ἀγαπῶν, ὑδέποτ' ἂν ἀμελήσειε τῶν χαιρόντων γονέων ἡγουμένων. τὸ μὲν γὰρ τῆς φύσεως, αὐτόματόν ἐστι· τὸ δὲ τῆς χάριτος, ἑκούσιον. ἐμὲ μὲν οὖν πολίτην ἑκατέρων· ἀλλ' ἐκείνοις μὲν οὐ δεῖ με πρὸς τοῦτο χάριν εἰδέναι, ὑμᾶς δὲ ὡς ἀργύρια ἀμείβεσθαι δίκαιον. διὰ δὲ τὴν ὑμετέραν εὔνοιαν καὶ δωρεὰν μετέχω τῆς πόλεως· ἀλλ' ὅσοι μὲν αὐτοὶ πολῖται γεγόνασι, τούτοις μόνον ὑπάρχει φιλανθρώπου τοῦ τῆς δωρεᾶς· τὸ δὲ τῆς φύσεως ἀναγκαῖον οὐ πρόσεστιν· ἐμοὶ δὲ ἀμφοτέρων μέτεστιν. ὁ μὲν γὰρ πάππος ὁ ἐμὸς μετὰ τῆς μητρὸς τῆς ἐμῆς πρός τε τὸν τότε αὐτοκράτορος φίλου ὄντος, ἅμα τῆς Ῥωμαίων πολιτείας ἠξιώθη· ὁ δὲ πατὴρ, παρ' ὑμῶν. ὥστε καὶ χάριν καὶ ἡγεῖ πολίτης ὑμέτερος εἰμί. τὸ γὰρ ἀπωτέρω δυοῖν βασμοῖν ζητεῖν τὸ ἡγοῦς, οὐδαμῶς ὑπεικές. οὐδεὶς γὰρ οὕτω πόρρω ἀλιθὴς ἐξ οὐδεμιᾶς εὑρεθήσεται πόλεως. ἐμοὶ δὲ τῶν γε ἐμῶν τέκνων ἥδε πατρὶς ἐστι μᾶλλον. τὸ μὲν οὖν ἀναγκαῖον συνακολουθεῖν τὰ τέκνα τῷ πατρί· πολὺ δὲ ἥδιον, τὴν πατέρα τοῖς παισὶ συνεπέσθαι. διὰ μὲν δὴ ταῦτα δύνοις ἂν ὑμῖν τυγχάνω, καὶ πολίτου διάθεσιν ἔχω. καὶ φανερῶς δὲ ἐδήλωσα. τῆς γὰρ φιλονεικίας ἀνεσώσης ταῖς πόλεσι, καὶ

τῆς παιδείας σφόδρα μὲ αἰδουμένης ἐμὲ ἄκοντα ἀνοχλῆσαι, σφόδρα δὲ ὀπτιθυμούσης ἀναλαβεῖν τὸ πρᾶγμα, πολλάκις τὸ ὑμᾶς προσκαλουμένης, οὐκ ἐπήκουσα πρὸς τοῦτο μόνον· οὐδὲν ἂν ὠνησάσης ἐκείνης ἕνεκα ποιῆσαι, μηδενὸς ἔλαττον τυχὸν πραξάσης δυναμένης· καὶ φίλων μοι ὄντων ὅτε ὀλίγων οὔτε ἀδυνάτων (ἵνα μηδὲν ὀπίσθιον εἴπω, μηδὲ ὃ λυπήσῃ τινάς) ἐπὶ ᾧ οὐκ ὀκνῶν τλῶ ὁδὸν, ὁπότε δεῖ με καὶ ἄλλως ἀπέναι. Τούτων οὖν ἕνεκα ἀρχόντων, ἀπέχομαι τοῦ πράγματος, οὐκ ἐκείνοις προδιδοὺς, ἀλλ' αἰδούμενος ὑμᾶς, καὶ νομίζων χρησιμώτερος ἔσεσθαι κἀκείνοις ἢ ὑμῖν, ἐὰν δυνώμαι φιλίας ποιῆσαι τὰς πόλεις, τῶν τε πρὸ τέρων ζητημάτων ἀπαλλάξας, καὶ τοιοῦτον εἰς δύνοιαν προτρεψάμενος. τοῦτο γὰρ ἁπάντων βέλτιστόν τε καὶ ἄριστον, ἀ μόνον τοῖς ἴσοις πρὸς ἀλλήλους, ἀλλὰ καὶ τοῖς κρείττοσι πρὸς τοὺς ἧττοδεεστέρους.

Ἐπίσαμαι μὲν οὖν ὡς χαλεπόν ἐστιν ἀνθρώπων ἀξιοῦν ἕνα, καὶ ταῦτα, ἐν πλείονι χρόνῳ τεθραμμένῳ· (ὡς τὸ νόσημα ἐκ πολλοῦ συμπεφυκὸς οὐράδιον ἀπαλλάξαι τοῦ σώματος, ἄλλως τε εἴπερ θέλοι αὐτοδιδύσκειν ἰᾶσθαι) ὅμως δὲ πιστεύω τῇ τῆς πόλεως ἥξει, νομίζων οὐ σκληρὸν οὐδὲ ἀμαθές, ἀλλὰ τῷ ὄντι χρήσιμον ἐκείνων τῶν ἀνδρῶν καὶ τῆς μακαρίας πόλεως, ὑφ' ἧς δεῦρο ἐπέμφθητε φίλοι δὴ παρὰ φίλους, δεῦρο οἰκήσοντες· ἢ τοσοῦτον ἀτυχίᾳ διαφέρουσα τῶν ἄλλων ἀνθρώπων καὶ δυνάμει, πλέον διενεγκόντων ὑπείκειά καὶ φιλανθρωπίᾳ· τοῦτο μὲν, ἀφθόνως μεταδιδοῦσα καὶ πολιτείας καὶ νόμων καὶ ἀρχῶν, οὐδὲν ἀλλότριον ἡγουμένη τῶν ἀξίων· τοῦτο δὲ, ὁμοίως ἅπασι φυλάττουσα τὸ δίκαιον. Ἃ δὴ πρέπει μεμουμένους ὑμᾶς, πραέως καὶ μεγαλόφρονας φαίνεσθαι, καὶ πρὸς τοὺς ἐγγὺς οὕτω, σωφρόνως ἡδὸν, μὴ χαλεπούς, μηδὲ ὑφηφαίους γείτονας, πρὸς οὓς ὑμῖν καὶ γάμοι κοινοὶ, καὶ τέκνα, καὶ πολιτεῖαι, καὶ θυσίαι θεῶν, καὶ πανηγύρεις, καὶ θεάματα· καὶ συμπαιδεύεσθε τοῖς καθ' ἕνα ἢ συνεστιᾶσθε, καὶ ἀλλήλους ὑποδέχεσθε, καὶ

ἀνήλοις τὸν πλείονα χρόνον συνδιατρίβετε· καὶ σχεδὸν εἷς ἑκάστῃ δῆμος, καὶ μία πόλις, ἐν οὐ πολλῷ διαφήματι. καὶ τίνων πλείους τῶν ἐκεῖθεν καὶ πολίτας πεποιήκατε, καὶ βουλῆς μετεδώκατε, καὶ ἄρχοντας οὐκ ἀπηξιώσατε γεγενέσθαι παρ' ὑμῖν, καὶ τῶν σεμνῶν τούτων ἀπὸ τῆς Ῥωμαίων ὁπόσοι πόλεως, ἐκοινώνησατε. πῶς οὖν εἰκὸς καθ' ἕνα μὲν ἕκαστον ἡγεῖσθαι φίλον, καὶ ὑμᾶς, κοινῇ δὲ τὴν πόλιν ἐχθραίνομίζειν, ὑμᾶς τε ἐκείνῃ, κἀκείνους τῇ ὑμετέρᾳ; οἱ γὰρ τοῖς ἀνθρώποις ἀγαπῶντες, καὶ ὑπομιγνύμενοι τούτοις, καὶ φρονοῦντες πολίτας, τί λοιπὸν ἢ τοῦδε ἐχθαίρουσι καὶ τοῖς τόποις, ἢ (ὃ μηδὲ εἰπεῖν ὅσιον) τοῖς θεοῖς ἀπεχθανόμενοι; καὶ τίνων ἅπασα μὲν ἔχθρα πρὸς ἅπαντας ἐργώδης καὶ χαλεπή· (οὐδεὶς γὰρ οὕτως ἀθεεὶ ἐχθρὸς, ὅστις οὐκ ἐλύπησεν ὑπὸ καιροῦ καὶ τὸν ἄγαν φαινόμενον ἰσχυρὸν, καὶ τὸ μῖσος ἐπεδείξατο, ἢ λόγῳ τινὰ εἰπὼν λυπηρὸν, ἢ ἔργον ἀσύμφορον παρέσχε. οὐ γὰρ ὅδιν ὡς εἰπεῖν οὐδέποτε ἡδὺς οὐδὲ ὠφέλιμος ὁ τῆς μίσους καρπὸς, ἀλλὰ τοὐναντίον, ἀπάντων ἀηδέστατος καὶ πικρότατος. οὐδὲ βάρος οὕτω χαλεπὸν, οὐδὲ ὑπόπονον, ὡς ἔχθραν φέρειν. ταῖς μὲν οὖν ἀτυχίαις ἀεὶ παρὼν ἐνοχλεῖ, ταῖς δὲ συμφοραῖς αὔξει· καὶ τῷ μὲν ἄλλο τι λυπουμένῳ τὴν λύπην ἀπεργάζεται διπλασίονα, τοῖς δὲ εὖ πράττουσιν οὐκ ἐᾷ χαίρειν τῇ ἀξίαν. ἀνάγκη γὰρ οἶμαι τοὺς πολλοὺς ὑπὸ μὲν ἀλλήλων ἐναπλεῖσθαι, πολλὰ δὲ τοῖς ἄλλοις καταφρονεῖσθαι καὶ ἀδοξεῖν· ὡς τοῦτο μὲν, ὑπὸ ἀρχόντων αὐτοῖς ἐναντίων, τοῦτο δὲ, αὐτοὺς ἄφρονας καὶ φιλονείκους) φιλίας δὲ καὶ ὁμονοίας οὐδὲν κάλλιον οὐδὲ ἥδιον, καὶ ἀνδρὶ πρὸς ἄνδρα, καὶ πόλει πρὸς ἰδιώτην. τίνες μὲν γὰρ ἀσφαλέστερον κτῶνται τἀγαθὰ τῶν φίλων συμπολιτευόντων αὐτοῖς; τίνες δὲ ἀποφεύγουσι τὰ κακὰ ῥᾷον ἢ οἷς αἱ φίλοι συμμαχῶσι; πόνων δὲ ἥδιον ἄπεται τὰ λυπηρὰ, ἢ τῶν ἐχόντων τοὺς σωτῆρας, καὶ συμφέροντας αὐτοῖς; πότε δὲ ἥδιον τὸ ἀτυχεῖν, ἢ ὅσοι μὴ μόνον αὐτοὺς ἀλλὰ καὶ ἄλλους ἀφραίνουσιν οὐ πράττοντες; ὡς

ἔχθρε οὐδὲ αὖ ἀτυχεῖν ἐκεῖνον τὸν ἄνδρα φαίην, ὃς οὐδένα ἔχει τὸν σωτηδόμενον. τίς γὰρ σωτὴρ, τίς γὰρ σύμβουλος ἀμείνων τοῖς χρήζουσιν, ἢ φίλος ἀτυχῶν; ἡδὺ γὰρ ἐστὶ σύμβουλος, οὐ μόνον ἀφελιμώτατος, ἀλλὰ καὶ ὠφελιμώτατος, ἢ ὅτῳ ἂν ἐντύχῃ ἀνήρ βύνοις. τὰ γὰρ τῶν μίσους καὶ τὰ τῆς ἔχθρας, πανταχῇ λυπηρὰ καὶ δυσχερῆ. χαλεπὸν μὲν γὰρ ἀσυνδήτῳ, χαλεπὸν γὰρ ἐν ἀφροσύνῃ παρὼν ἐχθρός· λυπηρὸν μὲν ὁρῶσι, λυπηρὸν γὰρ μνημονεύουσι· πολὺ γὰρ πάντων πειρωμένοις βλαβερώτατον.

ΔΙΑΛΕΞΙΣ ΕΝ ΤΗ ΠΑΤΡΙΔΙ.

ΟΡΩΣ μὴ ὑμεῖς διανοεῖσθε περὶ ἐμοῦ, καὶ τῆς ἐμῆς εἴτε σοφίας εἴτε ἀμαθίας, οὐ δυνάμαι ξυμβαλεῖν· πότερον ὄντως ὑπεθυμεῖτε τῷ λόγῳ, ὡς ἀκουσόμενοι τι θαυμασὸν, καὶ τοιοῦτον ὁποῖον οὐκ ἂν ἑτέρου τῶν νεῶ· ἢ ἐναντίον, ὡς ἐμὲ ἐξελέγξοντες, καὶ ἀποδείξοντες οὐδὲν μέγα οὐδὲ ἀσυνδήτον ὑπισάμενον. εἰ μὲν γὰρ οὕτως ἔχετε, θαρρῶν ὑμῖν παρέχω ἐμαυτὸν, ἵνα ἐμπλήσητε τὴν θεθυμίαν· εἰ δὲ μὴ, φοβοῦμαι τὴν ἐναντίαν δόξαν· μή ποτε ἀκούσαντες, εἶτα ὑ δικαίως ἐμοῦ κατα γνῶτε, ὅτι οὐκ αὐτοὶ ὀρθῶς ἐδόξατε. ὐδέποτε γὰρ οὐδενὶ ἔγωγε ὑπεχώρησα, ὡς ἱκανὸς ὢν λέγειν ἢ φρονεῖν, ἢ πλέον τι γιγνώσκειν τῶν πολλῶν· ἀλλ' ὑπὲρ αὐτοῦ τούτου διαμαχόμενος ἑκάστοτε καὶ αὐτὰ λέγων τοῖς ἀξιοῦσιν, ἔπειτα εἰς τὰ λέγειν καθίσαμαι· καὶ πολλοὶ τοῦτο αὐτὸ ὑπέδειξιν ἠγήσαντο. ὅμως γὰρ καὶ αὐτὸς ἑτέραν καὶ ἑτέραν λαμβάνω ὁδόν. ὅταν μὲν γὰρ εἰς ἐμαυτὸν ἀποβλέπω καὶ τὴν ἀπειρίαν τὴν ἐμαυτοῦ, θεὶ πάντα μὲν ἁπλῶς, μάλιστα δὲ τὴν θεὶ τοὺς λόγους, ὡς ἰδιώτης ὢν καὶ διανοοῦμαι, καὶ τοιοῦτον ἰδιώτου βίον βιωσόμενος· ὅταν δὲ εἰς τοὺς ἀσυνδήτους καὶ θρασυκαλουῦντας, ὑπονοεῖν ἐμαυτὸν ἀναγκάζομαι,

μὴ ἄρα τῶν ἐμῶν λόγων ἄξιον· καὶ λανθάνω πεπονθὼς τὸ αὐτὸ ἐνίοις τῶν ζώων, ἃ χρήσιμα ὄντα τοῖς ἀνθρώποις, καὶ δυνάμιν ἔνια ἔχοντα ἐν αὑτοῖς θεοὶ ἴασιν νοσημάτων, ἢ ποι χολῆς, ἢ αἵματος, ἢ πιμελῆς, ἢ τειχῶν, οὐκ ἴσασιν· οἱ δ' ἄνθρωποι εἰδότες διώκουσιν αὐτά, καὶ πειρῶνται πάντα τρόπον συλλαβεῖν, οὐ τῶν κρεῶν ἕνεκεν, ἀλλ' ἐκείνης τῆς δυνάμεως. εἰ ἄρα καὶ μὲ ἀναγκάζουσιν ἑκάστοτε λέγειν, οὐδὲν δέομαι τῶν λόγων, ἀλλ' ἑτέρου τινός. οὐ γὰρ ἐκεῖνο δύναμαι ἐννοῆσαι, ὅτι ἀγνοοῦντες ἤδη καὶ ἀνήκοοι ὄντες ἐπαυδάκασιν· ὡς ὦρα μέλει πολλοὶ πολλῶν διὰ τὴν ἄγνοιαν ὀπιθυμοῦσι. πάντες γάρ, ὡς ἔπος εἰπεῖν, τοῖς μὲν ἐμοὶ λόγοις ὀπίσανται, καὶ διαφέρουσιν αὐτοῖς ἄλλοι ἀλλαχοῦ, ὥσπερ τὰ φαῦλα ἄσματα οἱ παῖδες ἐν ταῖς πόλεσιν ᾄδουσι τὸ πρῶτον ἐπιόν· καὶ τοῖς ἐμοῖς λόγοις ἡδὺ πάντες ἀλλήλοις ἀπαγγέλλουσιν οὐχ ὅπως ἐρρήθησαν, ἀλλ' ἐπὶ βελτίοις ποιησάντες, καὶ τὴν αὐτῶν δύναμιν· οἱ μὲν, ἐκόντες ἐπανορθούμενοι· καὶ δῆλον ὅτι αἰσχυνόμενοι τὸ μεμνῆσθαι τοιούτων, ἀλλάττοντες καὶ μεταπλάττοντες τὰ πολλὰ καὶ κρείττονα· οἱ δ' ἴσως καὶ ἄκοντες, διὰ τὸ μὴ σφόδρα μεμνῆσθαι. ὥστε οὐκ ἐπ' ὀβολοῦ, καθάπερ εἰπέ τις ἀπρῶν, ἐκ τῆς ἀγορᾶς πριάσθαι τὴν ἐμὴν σοφίαν, ἀλλὰ κύψαντα αἰρεθῆναι χαμόθεν. ἡδὺ οὖν ὡς πλησίον πεπόνθασιν οἱ ἐμοὶ λόγοι τῷ πυρέττοντι τῷ Τενεδίῳ. καὶ γὰρ ἐκεῖθεν πᾶς μὲν ὁ πλέων ἐμβάλλεται πύρεττον, οὐδεὶς δὲ ὑγιεῖ διακομίζει ῥᾳδίως· ἀλλὰ πολλοὶ σαθρὸν ποιήσαντες, ἢ σωτείψαντες, ὅπερ ἂν ἔχοντες λανθάνουσιν αὐτούς.

ΠΟΛΙΤΙΚΟΣ ΕΝ ΤΗ ΠΑΤΡΙΔΙ
ΛΟΓΟΣ.

ΛΥΔΟΙ (φασὶ) πρᾶγματα οὐκ ἴδιον, ὁ δὲ ἐξελθὼν ἐπρίατο. οὕτω μὲν ὁ Λυδὸς δικαίως πρᾶγματα εἶχεν, αὐτὸς ὀπιθυμήσας· ἐγὼ δ', οὐκ ὀπιθυμῶν, πρᾶγματα ἔχω

δι' οὐδὲν ἕτερον ὑπὸ ἀνθρώπων ἀδυνάτων καὶ φθονερῶν, ἢ ὅτι δοκῶ σέργειν ὑμᾶς· καὶ τὰ μὲν δὴ πεποίηκα τῇ πατρίδα, ταῖς πράξεσιν ἴσην αὐτὴν ἀποδείξας ὑμῖν ἕνεκα, τὰ δὲ ποιήσω, θεοῦ διδόντος. καὶ τόδε εἶπον οὐκ ἀλαζονευόμενος ἄλλως (αὐτοὶ γὰρ ἴστε οὐδεπώποτε ὑπὲρ τούτων μνησθέντα με, ἐν τοσούτοις λόγοις οἷς εἴρηκα ἐν ὑμῖν) ἀλλ' ἀμυνόμενος τοῖς ἐμοὶ καὶ ὑμῖν βασκαίνουσι· ἵνα, ἐὰν μὲν δυνατὸν ᾖ, διαρραγῶσιν (ὃ τῇ πόλει πάσῃ βέλτιστόν ἐστιν) εἰ δὲ μή, μᾶλλον ὀδυνηθῶσιν. ὅτι δὲ αὐτοὶ πρὸς ἐμὲ ἀνδρῶς ἔχουσι καὶ πρὸς τὴν πόλιν, αὐτοὶ μάρτυρες ἐστέ, ἐὰν θέλητε μεμνῆσθαι καὶ τῶν φιλούντων ὑμᾶς καὶ τῶν μισούντων. καίτοι ὁπότερον ἐμοὶ χρώνται ἢ ὑμῖν. ἐμοὶ μὲν γὰρ ἐν ταύτῃ κατηγοροῦσιν, ὑμῶν δέ, ὅτι τῷ βήματος. ἐὰν οὖν Ἕλληνικοῖς, ὡς γε οἶδα, φαίνωμαι τοῦδε λείγμασι χρώμενος, μὴ καταγελάσητε. οὐ γὰρ καταφρονῶ τῆς πατρίδος, οὐδὲ ἀδυνάτους ὑμᾶς νομίζω αὐτοὺς σωιέναι τὰ τοιαῦτα· οὐδὲ ἀπαίδευτον νομίζω οὔτε τὸν δῆμον, οὔτε τὸν βουλήν. μάλιστα μὲν οὖν ὑμᾶς βούλομαι τὸ ἦθος Ἑλληνικὸν ἔχειν, καὶ μήτε ἀχαρίστους, μήτε ἀξυνέτους· εἰ δὲ μή, λόγων γε τοιούτων ἀκούειν οὐ χεῖρόν ἐστιν, ἐξ ὧν μοι δοκεῖτε καὶ τοῖς ἤθεσιν ἀμείνους ἂν γενέσθαι. τί δὴ οὖν τὸ τοῦδε λείγμα; Ἰσμηνίας ἀνὴρ Θήβαις, Ἐπαμινώνδας λεγόμενος· τοῦτ' ἐφίλει τὴν πατρίδα πάντων μάλιστα· καιρῶν δὲ ὁπλαδόμενος οἷοι τότε ἦσαν, πολλὰ καὶ μεγάλα ἠργάσατο. αἰτὶ γὰρ δειλῶν καὶ ἀδυνάτων, καὶ ἄλλοις ὑπακουόντων, πρωτεύειν ἐποίησεν ἐν τοῖς Ἕλλησι, καὶ τῆς ἡγεμονίας ἀπεποιεῖσθαι. τότε μὲν γὰρ ταῦτα ἰσχυρὰ, νυνὶ δ' ἕτεροι γεγόνασιν οἱ καιροί. πλὴν τά γε τῆς ἀνοίας καὶ τῆς πρόδοσίας, ἀεί ποτε. ὅμοιοι γὰρ προδόται καὶ συκοφάνται, καὶ πάντα πράττοντες κατὰ τῶν πολιτῶν καὶ τότε ἦσαν ἐν ταῖς πόλεσι, καὶ νυνὶ φιλοῦντες τὰς πατρίδας καὶ τοὺς πολίτας τοὺς αὐτῶν, μηδὲν κακὸν πάσχειν θέλοντες, καὶ τὰς πατρίδας αὔξειν φιλοῦσιν· τότε μὲν, πολλοὶ καὶ μεγάλα πράττοντες καὶ

ελάττω ποιεῖν ἀγαθὰ δυνάμενοι. ὁ δ' οὖν Ἐπαμινώνδας ἐκεῖνος ὑπὸ τῶν ἀνομοίων ἐμισεῖτο, καὶ ἦσαν οἱ διαβάλλοντες αὐτόν. ὁ δὲ δῆμος, ὡς δῆμος, ἠγνόει, καὶ ἀνεπείθετο. καὶ ποτε τῶν ἀπεγνωσμένων εἰς καὶ ἀπήμων, καὶ ὅτε ἐδούλευεν ἡ πόλις ὑπ' ἐτυραννεῖτο, πάντα κατ' αὐτῆς πεποιηκώς, ἐν ἐκκλησίᾳ τὸν Ἐπαμινώνδαν ἐλοιδόρει, καὶ πολλὰ καὶ χαλεπὰ ἔλεγε (πᾶς γὰρ ὁ ψευδόμενος, οὐκ εἰ μὴ ἀληθὲς ὅτι ζητεῖ· μηδὲν γὰρ ἀληθὲς λέγων δυνάμενος· δι' ἣ μὴ χαλεπὸν) καὶ αὐτὸς ἐπανασεὰς, ὥστε μὴ τῶν ἄλλων οὐκ εἶπεν, οὐδὲ ἀπελογήσατο οὐδέν, μόνον δὲ πρὸς ἐκεῖνον, τῇ δ' αὐτοῦ φωνῇ βοιωτιάζων, Ἀλλά τοι Δαμάτηρ, ἔφη, κιχολωμένη γένοιτο. οἱ δὲ Θηβαῖοι ἀκούσαντες ἥσθησαν καὶ ἐγέλασαν εἰκότως. ἀναμνησθέντες, οἶμαι, τῆς ἐκείνου πρὸς τὸ δῆμον εὐνοίας, καὶ τὸ λοιδορούμενον τῆς συκοφαντίας. ἔχω γὰρ ὧν, εἴ τις λέγοι πρὸς ἐμὲ ἀνάξιον ἐμοῦ, εἶτε αἰτίας, εἴτε καὶ μετὰ χάριτος, ἵνα δοκῇ ῥήτωρ, καὶ ταῦτα, οὐκ ὢν ἀγχίμαχος αὐτὸς, ἀποκρινοῦμαι αὐτῷ τῷ τοῦ Ἐπαμινώνδου ἀποκρισιν. οὐ δὲ ἴσε ὅτι ταῦτα ποιοῦσι καὶ λέγουσι, βαρυνόμενοι τὴν ἐμὴν ὑπεροχήν· δι' ἄλλο μὲν οὐδέν. οὐδὲ γὰρ ἐνεδρεύω τινὰ τῶν πολιτῶν, οὔτ' ἀργύριον λαμβάνω παρά τινος, οὔτε διαμολογεῖν ἕτοιμός εἰμι τῷ χώραν τῷ ὑμετέραν. οὔτ' ἐν τῇ ἀγορᾷ φαίνομαι τινι ὀχληρός. οὐ γὰρ εἰμι ῥήτωρ· οὐδὲ εἶπον πώποτε οὐδενὸς, ἢ ἑνὸς ἀνθρώπου δυστυχοῦς, ὃν ἐκώλυσα πρὸς τῶν συγγενῶν καὶ τῶν ὑπάρχων διαφθαρῆναι· κρεῖττον μὲν αὐτὸ τὰ χρήματα ὑφῃρημένων, καὶ πολλὰ τῆς οὐσίας διηρπακότων, ὕστερον δὲ καταψευδομαρτυρουμένων. ἄλλως δὲ οὐδεμίαν ἔριν διδίκως. ὥστε δι' οὐδὲν οὐδενὶ βαρύς εἰμι. ἀλλ' ἵνα ἐάν ποτε γένηται καιρὸς, οἷον νῦν ἔχοντάς τινες ὁμοίως τῶν κρεῖττον, οἷος οὐκ ἔστι· πλὴν εἰ γένοιτο, ἵνα μὴ παρῶ τῷ δήμῳ, μηδὲ ὄζουσιν οἱ συκοφαντούμενοι τὸν παραπόμπον, ἢ σωαλίσαιτο. καὶ διὰ τοῦτο δυσκόλως ἐμὲ φέρει τις ὑπερηφανοῦντα. καὶ γὰρ εἰ πλείους ἦσαν ἢπερ εἰσὶν, οὐδεὶς ἐμοῦ φήσει μᾶλλον. ἔχω δὲ παρ-

ρησίαν ἔχω πρὸς ὑμᾶς ὅσην οὐδείς. τῆς μὲν γὰρ ἀτυχίας ἐμαυτὸν παρεχώρησα ὑμῖν, τῆς δὲ δυστυχίας τῆς ὑμετέρας μετέλαβον. καὶ νῦν δεῖ με ἀποδημεῖν, οὐχ ὡς πρότερον ἀλύπως, πάντων με ἀχαπώντων καὶ θαυμαζόντων, ἀλλὰ μετὰ ἔχθρας τινῶν. ἐπεὶ αὐτός γε οὐδὲν ἔπαθον κακόν.

Οὐ γὰρ πώποτ' ἐμὰς βοῦς ἤλασας, οὐδὲ μὰν ἵππους. οὐ μέντοι θαυμάζω τὰ παρόντα πράγματα. ἐπεὶ καὶ Σωκράτης ἐκεῖνος οὐ μέμνημαι πολλάκις, ἐν μὲν τῇ τετραννίδι τῶν τριάκοντα ἔπραξε πάντα ὑπὲρ τοῦ δήμου, καὶ τῶν κακῶν οὐδενὸς ἐκοινώνησεν· ἀλλὰ καὶ πυνθάνεις ὑπ' αὐτῶν δηὶ Λέοντα τὸν Σαλαμίνιον, οὐχ ὑπήκουσε· καὶ πῶς τετράννοις αὐτοῖς ἐλοιδορεῖτο, λέγων ὁμοίους εἶναι τοῖς πονηροῖς βουκόλοις, οἳ παραλαβόντες ἰσχνὰς τὰς βόας καὶ πολλὰς, ὀλίγας καὶ ἀθετεστέρας ποιοῦσιν. ἀλλ' ὅμως ὑπὸ τοῦ δήμου, δι' ὃν ἐκινδύνευεν, ὕστερον δοὺ πρόπτοντος ἁλοὺς, ὑπὸ συκοφαντῶν τινῶν, ἀπέθανεν. Ἰὼ δὲ ὁ κατήγορος Μέλιτος, βδελυρὸς ἀνθρωπος καὶ συκοφάντης. Ἀδικεῖ (φησὶ) Σωκράτης, τοὺς νέους διαφθείρων· καὶ οὓς μὲν ἡ πόλις θεοὺς ἡμᾶς μὴ ἡμῶν, ἕτερα δὲ εἰσάγων καινὰ δαιμόνια. πρεσβὺν αὐτὰ ταῦτα, ἐναντία οἷς ἐποίει Σωκράτης. ἔτιμα γὰρ τοὺς θεοὺς ὡς οὐδεὶς ἄλλος· καὶ πανάγνα ἐποίησεν εἰς τὸν Ἀπόλλω ἐς τὴν Ἄρτεμιν τὸν ὃν ἐγὼ νῦν ᾄδω· ἐς τοὺς νέους ἐκώλυε διαφθείρεσθαι, οὐ μόνον, ἀλλὰ καὶ τοὺς πρεσβυτέρους ὠνείδιζον, καὶ πρόφερον αὐτοῖς, εἴ τις ἄπληστος ἢ ἀκόλαστος, ἢ τὰ τῆς πόλεως ἠρπολάβη, τοῦτον ἀπολύων ἐν δημοσίῳ, τοὺς δὲ συκοφαντῶν· τοὺς μὲν νησιώτας τοὺς καλαμπόρους λεπλατῶν, ὅτι πρόσφατα φόρων, ἢ καλοῦ τινος ἐραπωτῶν· ὡς καὶ ἔνιοι ποιοῦσι παρ' ὑμῖν. διὰ ταῦτα μισοῦντες αὐτὸν, ἔφασαν διαφθείρειν τοὺς νέους. ἡ δ' ἐμὴ γραφὴ, μείζων καὶ γοργοτέρα πρόφασιν ἦν, κρυφαία τις, ὡς ἔοικεν· Ἀδικεῖ Δίωνα, τοὺς μὲν θεοὺς μὴ ἡμῶν, μήτ' ἐν θυσίαις, μήτ' ἐν ὕμνοις· καταλύων τὰς πατρίους ἑορτάς. ἀναπείσας δ' ἡγεμόνα πονηρὸν ὥστε τὸν μὲν δῆμον βασανίσαι, καὶ ἐξελάσαι

ὅσους αὖ δυνήσεται πλείστους· ἐνίους δὲ καὶ ἀποκτεῖναι, προσχὼν αὐτοῖς ἑκουσίως ἀποθανεῖν, διὰ τὸ μὴ δυνάσθαι πρεσβύτας ὄντας φυγεῖν, μηδὲ ὑπομένειν καταλιπεῖν τὴν πατρίδα· συμφέρειν τε καὶ νῦν ἅπαντα τῷ πυθανομένῳ τοῖς θεοῖς, καὶ ὅπως ἐκεῖνος καλῶς ἀγωνιεῖται, ἢ ἧττ' κράτος προσλήψεται τὰς πόλεις. καὶ τοῖς δήμοις καταισκυάζων, ὅσον ὀξὺν ἐπ' αὐτῷ καταισκυάζειν· διαφθείρων ἢ καὶ τὸν δῆμον, αὐτὸς ἐφισάμενος κατήγορος, ἐν τοῖς αὐτοῦ ῥήμασι καὶ τῇ γλώττῃ προσνομῶν εἰς τοὺς πολίτας, εἰς τοὺς δημότας· καὶ πολλὰ ἔπεσι ποιῶν ἃ αἰσχύνομαι καθ' ἕκαστον λέγειν. πονηρὸν ἢ πρόσδειγμα παρέχων ἑαυτὸν καὶ νεωτέροις καὶ πρεσβυτέροις ἀπειλίας, ἢ ὕφης, καὶ ἀπιστίας. δεκάζων ἢ τὸ πλῆθος, ἵνα μηδεὶς αὐτῷ προσφέρῃ τὰ τότε πραχθέντα, ἀλλὰ τοῦ μίσους καὶ τῆς ὀπιβουλῆς λήθῃ ἕνα ποιήσωνται. φέρε δή, πρὸς ταῦτα ἀπολογήσωμαι ὦ ἄνδρες Προυσαεῖς. καὶ ἂν δοκῇ ὑμῖν ἀκούσασι, καταψηφίσασθέ μου. καὶ ὁ μὲν Σωκράτης οἱ Ἀθηναῖοι ἀκούσαντες κατεψηφίσαντο.

ΑΡΙΣΤΕΙΔΟΥ ΜΟΝΩΔΙΑ

ΕΠΙ ΣΜΥΡΝΗ.

Ὦ Ζεῦ, τί χρήσωμαι; πότερον σιωπῶ Σμύρνης κειμένης; ἵνος μεταλαβὼν ἀδάμαντος φύσιν; ἢ πίνακα τοιούτῳ καρτερείαν καρτερῶν; ἀλλ' ὀδύρωμαι; ποίαν ἁρμονίαν ἁρμοσάμενος; ἢ πίνακα τόλμαν τοσαύτῳ λαβών; ὅσαι γὰρ Ἑλλήνων καὶ βαρβάρων φωναί, τῶν τε ὑφ' ἡμᾶς καὶ τῶν ἐκ τοῦ παντὸς αἰῶνος γεγονότων, εἰς ταυτὸν ἅπασαι λόγῳ συνελθοῦσαι, ἐλάττοις τοῦδε τοῦ θρέμματος, ἐγχειρήσαι μόνον, μὴ ὅτι τῷ ἀξίαν σῶσαι. ὦ μίμησις μιμήσεων ἰδὼν καὶ ἀκούσας ἐφᾶ. ὦ πάντα φέρων χρόνος, οἵαν ἰδέαν πόλεως ἐξεβύρσωσε καὶ τεχνησάμενος, εἶτα ἀνάλωσας ἔχεις. ὦ πάντα ἀνόμοια τοῖς πρότερον. τὰ μὲν ἀρχαῖα, Κυρήτων χοροὶ καὶ θυσίαι, καὶ γυμνὸς Ἀρεως, καὶ Πέλοπες διαβαίνοντες ἐνθένδε, καὶ Πελοπόννησος ἀποικία, καὶ Θησεὺς οἰκιστὴς τοῦ ὑπὸ τὸν Σίπυλον τόπου· καὶ Ὁμήρου γραφαί, καὶ ἀγῶνες, καὶ θέατρα, καὶ νῖκαι πρὸς τοῖς ἄρχουσι διὰ πάντων ἐθνῶν· καὶ λογίων πρεσβυτῶν, ἀναγραφόντων καλλίστην τῶν ἀπάντων. καὶ μὴν τά γε ὁρώμενα, κρείττω διηγήσεως. πρῶτον μὲν ἀθρῶ ἀγορὰ κάλλους, καὶ μεγεθῶν ἀριθμοί, καὶ μέτρα, καὶ βάσεις, ὥσπερ ἁρμονίας μιᾶς. πόλεις μὲν ἐπ' ἠιόνων καὶ λιμένων καὶ ἁλῶν ἐρειδόμεναι· μεσότης δ', ἴσον τοῦ πεδίου τε ὑπεραίρουσα καὶ τῶν αὖθεν ἀπολείπουσα. ἑξαπᾶ δὲ μεσημβρινὴ, καὶ μικρὸν ὑφουμένη, δι' ὁμοίου τοῦ παντὸς λάθρα λήγουσα εἰς ἀκρόπολιν, σκοπιὰ τῆς τε θαλάττης καὶ τῆς πόλεως ἔχουσα. τὸ δ' οὔτε λόγῳ ῥητὸν, οὔτε ὄψει βεβαίως καταληπτὸν, ἀλλ' ἐκφοβοῦν οὐκ οἶδ' ὅπως, ὅπου θυμίαν δὲ τοῦ συλλαβεῖν αὐτὸ παρεισάρει ἀεί δή ποτε, τὸ ὑπὲρ πάσης τῆς πόλεως ἔρημος χάος· οὐ διαφθεῖρον τὰς ὄψεις, ὡς ἔφη Σαπφώ, ἀλλ' αὔξον καὶ τρέφον καὶ ἄρδον, ἅμα δὲ θυμίαν.

ὑακινθίνῳ μὴ ἄνθη οὐδαμῶς ὅμοιον, ἀλλ' οἷον οὐδὲν πώποτε γῆ ἢ ἥλιος ἀνθρώποις ἔφηναν. ὡς γὰρ ἂν ἄγαλμα ἀκριβῶς πεποικιλμένον, πάντα τὰ εἰόντα θέαν ἔχει, οὕτως οἱ τῇ θατέρου μὲν ὡραιοτάτῃ πόλεων, νυνὶ δὲ ἀοικίαν ἀθεμίτῳ, ἀφ' ὅπου τις ἀεὶ θεωροῖτο. νυνὶ δὴ τὸ κάλλιστον εἶδος παρέσχεν δοκεῖν· τὸ μὲν, ἐξαίφνης ἐκφανείσῃ γιγνομένῃ, τὸ δὲ, ἀπαθοῦς γιγνομένῳ· τὸ δὲ, ἐκ θεάτρων, ἐκ πορθμῶν, ἐκ πελάγους, ἐκ γῆς, ἐκ θαλάττης. ταῦτα μὲν τὰ πρὶν ἐντυχεῖν. σωσάσῃ δὲ ὅσαι τὴν ὁμιλίαν ἵνα μὴ κόρον ἔχον ἀνθρώποις, τίνι δὲ ἄλλῃ πόλει παρὰ μικρὸν ἐλθεῖν ἀπέλιπον; ὦ κρῆναι, καὶ θέατρα, καὶ στοαί, καὶ δρόμοι κατάσκιοι καὶ ὑπαίθροι. ὦ τῆς λαμπρότητος ἅμα καὶ ἀγορᾶς· ὦ χρυσοῦ τε ἐπώνυμοι καὶ ἱερῶν ὁδοί, καθ' ἕκαστον πλησίον, ἀντ' ἀγορᾶς ἅπασαι. ὦ λιμένες πολυώνυμοι τῆς φιλτάτης πόλεως. ὦ κάλλη γυμνασίων ἀμύθητα. ὦ ναῶν καὶ θεοβόλων χάριτες, πῇ ποτε γῆς ἔδυτε; ὦ κόσμοι θαλλίας. ὦ πάντα ἐκεῖνα ὀνείρατα. ποίαι πηγαὶ δακρύων ἱκαναὶ τοσούτῳ κακῷ; ποίαι σωφροσύνης καὶ σωφρονίας χορῶν πάντων πρὸ καλλίχορον καὶ πολυύμνητον καὶ τερπνὴν αἰθρώποις ἀφήσουσιν ἀνοιμώξαι πόλιν; ὦ πῶμα τῆς Ἀσίας. ὦ λοιπαὶ πόλεις· ὦ πᾶσα μὲν γῆ, πᾶσα δὲ εἴσω Γαδείρων τε καὶ ἔξω Γαδείρων θάλαττα. ὦ κύκλος ἀστέρων. ὦ πάντα ἐφορῶν ἥλιε, οἷον ἠνέσχου θέαμα ὁρῶν. ὦ παμφλὰ μὲν, Ἰλίου πόρθησις, παμφλὰ δὲ, Ἀθηναίων ἐν Σικελίᾳ συμφοραὶ καὶ κατασκαφαὶ Θηβῶν καὶ στρατοπέδων ὄλεθροι, καὶ πόλεων δύσις, καὶ πάνθ' ὅσα πῦρ καὶ πόλεμοι καὶ σεισμοὶ μέχρι τοῦδε ἀπειργάσαντο. ὦ πότερον μὲν καλλει καὶ Μούσαις ἁπάσας πόλεις ἀποκρύπτουσα, νυνὶ δὲ ἀποκρύψασα τὸ τῆς Ῥόδου πῶμα. ἔμελλες ἄρα τοῖς Ἕλλησιν ἀδελφαὶ δευτέρων σελιωτέρων. ὦ πᾶσι τοῖς ὁμοφύλοις ἐν ἀγισμάτων ἡμέρᾳ. ὦ κοινὴ τοῖς Ἕλλησιν ἀποφραί· οἵαν κεφαλὴν τῷ γένει ἀπήνεγκας, οἷον ἐξεῖλες ὀφθαλμόν. ὦ γῆς ἄγαλμα, ὦ θέαθρον τῆς Ἑλλάδος, ὦ Νυμφῶν καὶ Χαρίτων ὕφασμα. ὦ πάντα τὰ σωμεῖνας

ἐγώ. ποῦ γῆς νῦν μονῳδῶ; ποῦ μοι τὸ βουλευτήριον; ποῦ νέων καὶ πρεσβυτέρων συνόδοι καὶ θόρυβοι διδόντων ἅπαντα; ἰὼ ποτὲ ἐν τῷ Σιπύλῳ πόλις, ἰὼ κῆ τῆς λίμνης δῶμα λόγος. ὦ Σμύρνα, ὡς πρόρριζόν σοι τὸ πρόσοιμον ἦδετο· οἵας ἐκληρονόμησας τύχης, ὡς ἥκιστα σαυτῆ προσηκούσης. νῦν ἔδει μὲν πάντας οἰωνοὺς εἰς πῦρ ἅλεσθαι· παρέχει δὲ ἡ πόλις ἄφθονον. πᾶσαν δὲ τὴν ἤπειρον ἐποικίεσθαι· πάντως αὐτῆς ὁ βόσρυχος οἴχεται. νῦν ποταμοὺς δάκρισι ῥυῆναι, νῦν ὁλκάδας ἐκπλῦσαι μέλασι τοῖς ἱστίοις. ὦ Μέλης δι' ἐρήμου ῥέων. ὦ τῶν πρόσθεν μελῶν τὰ παρόντα ἀντίφθογγα. ὦ κύκνων ᾠδή, καὶ ἀηδόνων χορὸς ἐνθρηνεῖν. ἦ που καὶ Γοργόνες, εἰ πρόσθεν, οὐκ ἂν τὴν Μέδουσαν, οὐδὲ τὸν αὐτῶν ὀφθαλμὸν, ἀλλὰ τὸν τῆς Ἀσίας ἐπένθησαν. πῖον Βόσπορον, ἢ ποίοις καταῤῥάκτας, ἢ πίνα Ταρτησσὸν τὸ σὸν ὦ δαιμονία κλέος οὐκ ἐπῆλθε; ποίᾳ Μασσαλίᾳ τὸ πένθος τοῦτο ἐλαθήσεται; ἢ πίνι Βορυσθένει; ἧς Ἑλλήνων οὕτως ἔξω τῆς Ἑλλάδος; πῆς βαρβάρων οὕτως ἀδάμαστος καὶ ἀνάλωτος τοῖς τῆς Σμύρνης βέλεσι καὶ φίλτροις, ὅστις οὐκ ἀκοῇ μὲν ἤρα, ἀκοῇ δὲ ἀνιάσεται; Ἡλιάδας μὲν δὴ λέγεται, πενθούσας τὸν ἀδελφὸν, πελυτώσας ἀγείρων ἀλλάξασθαι φύσιν, καὶ τὸ δάκρυον αὐτῶν εἰς ἤλεκτρον παγῆναι· σὲ δὲ ὦ χαριεστάτη πόλεων αὐτοῖς ὤρα τοῖς δένδρεσι θρηνεῖν.

ΓΑΛΗΝΩΔΙΑ ΕΠΙ ΣΜΥΡΝΗ ΚΑΙ ΤΩ ΑΥΤΗΣ ΑΝΟΙΚΙΣΜΩ.

ΕΜΟΙ μὲν, ὦ ἄνδρες Ἕλληνες, συνέβη ταυτὸν ὅπερ τοῖς ἐν ταῖς τραγῳδίαις μέχρι πολλοῦ σιωπῶσιν, εἶτα, καιροῦ παραγέντος, φθεγξαμένοις ἢ πρὸς χορὸν, ἢ πρὸς ὑπηναδήποτε. πάντα γὰρ τὸν ἄπωχρόνον καταχὼν ἐμαυτὸν ἐξ οὗ ταῦθ' ἃ σώιστε ἐγράφετο, καὶ οὔτε πρὸς παρασκευὴν τῶν πολιτῶν ὁρμήσας, ὅτ' ἄλλο πράξας ἡδέως, ἀλλ' ἢ τοῖς πρὸς πάταις ὅσα καιρὸς ἰὼν ὑπεσχόμην· ἐπειδὴ καλῶς ποιοῦντες οἱ θεοὶ, καὶ οἱ θεῶν γνώμη βασιλεῖς ἡμῖν αὐτοί τε κυβερνῶμενοι, καὶ τὰ τῶν ἀνθρώπων ἄρχοντες πράγματα, τὴν ἀλυσιτέλειαν τῆς πόλεως ἀπασάμενοι τύχῃ, τὴν χρείαν καὶ πάλαι προσήκουσαν αἰτησόμενον, οἶμαί γε κἂν αὐτὸς ἐν καιρῷ τυχεῖν εἰπών. εἰ μὲν οὖν ἐξῆν ἐμοὶ κινεῖσθαι ὅποι βούλομαι, παρὼν αὖ ὑμῖν διελεγόμην· κατέχοντος δὲ τοῦ σωτῆρος, ἡ διὰ τῶν γραμμάτων ὁμιλία καταλείπεται. καὶ πῶς ἐν μὲν ὄψιν εἰς παράδειγμα ἀνενεγκεῖν, οὐχὶ θαυμάσαι· ἐν δ' ἄλλῳ μὲν οὐδενί πω μέχρι νῦν πεπραγέναι, προσήκειν ἡμῖν, οὐκ ὀρθῶς ἔχειν νεμεσῆσαι. νῦν μὲν οὖν τὰ συμβαίνοντα ἐπιθυμῶ (οὐ γὰρ παρών γε ἔτυχον, ἀλλ' ἔφθην προσελθών· ὅπου δὲ γνώμη, λογίζεσθε) μονῳδίας τινὰς ἡδὺν, ἕως ἔλαθον λόγοις τινὰς συνθεὶς ὑπὸ τοῦ πάθους. οὐδὲ γὰρ ἰὼν ἄλλως αὐταρκέσαι, μὴ τύποις ἐφέντα ἐμαυτόν. νῦν δ' ὥρα μοι τὸν Στησίχορον μιμήσασθαι τῇ παλινῳδίᾳ· καὶ μὴ, πότε ἀδούλητα ἄδοντα, τὰς τῶν ἀνδρῶν νοῦν σωπῆσαι. τοσοῦτον δὲ τοῦ Στησιχόρου διοίσειν μοι δοκῶ. ὁ μὲν γὰρ, αὖθ' ὧν κακῶς εἶπε τὴν Ἑλένην, αὖθις τούτων ὕμνησε τὰ δεύτερα· ἐγὼ δὲ ἃ τὴν ἀεὶ καλὴν ἐκόσμουν ὁδυρόμενος, ταῦτα νῦν ὅπως τὴν γεγηθέναι ποιήσω, καθαρὰν ὀδυρμοῦ τὴν ἀφηνίαν παρεχόμενος. ἡμῖν μὲν γὰρ, ὦ ἄνδρες

Ἕλλωες, πᾶσαν μὴ σωέβη ξὺν τῷ κοινῷ ἀνθρώπων τύχῳ, ὧν οὐχ οἷόν τε ἀμοίρους κακῶν εἰς τέλος διελθεῖν· ἀναφέρειν δὴ τὴν τῆς πόλεως τύχην, δι' ὧν οὐδενὸς τῶν καλῶν ἄμοιρος πώποτε ἐγένετο. γοῦν δὴ αὖ καὶ τῷ χρόνῳ τεκμαιρόμενος. τὸ γὰρ, νῦν ἔμελλεν οὐ πεσοῦσα κεῖσεσθαι, οὐδὲ ἀνθρώπου τελευτῇ ὧδε πλησίως ἔοικεν, ὥς γε ἄλλαι γυναῖκες ἤδη πρότερον πόλεις, ἀλλ' ὅτι κρειττόνων κρημνίδων ἀνάστασθαι, τῷ καὶ ὑπολιθεῖν, πῶς οὐκ ἀτυχίας μέρει τοσοῦτον ἐνθεῖν τις ἂν βουφρονῶν; συζυγίαν δὲ, ὡς ἔοικεν, ὁ δαίμων ἐσκέψατο. Τοῖς τε γὰρ πάντα ἀρίστοις βασιλεῦσι, καὶ πάσας πόλεις ὑφ' ἑαυτοῖς ἔχουσι, τῷ καλλίστην οἰκίσαι φιλοτιμίαν εἶχε· τῇ τε πόλει, τὸ διὰ τούτων ἀνεγερθῆναι, καὶ τοιούτους ἀρχηγέτας ὑπηρχάφθαι, τῷ συμφορᾶν εἰς εὐπραξίαν μεταβαλεῖν. πότερον μὲν γὰρ Θησέα καὶ Ἀλέξανδρον ἥδομαι· τὸν μὲν, τῶν ἐν Ἕλλησιν οἶμαι φιλανθρωπότατον, τὸν δὲ, συμπάντων βασιλέων μάλιστα δὴ θαυμαζόντα τῆς εἰς τοὺς πολέμους τόλμης ἕνεκα· νεῶν δ' ἔτι λαμπροτέρους καὶ μείζονας οἰκίσας προσελάβομεν· οἷς πᾶσα μὲν γῆ καὶ θάλαττα ὑπήκοος, ὃν πατέρων τε καὶ ἐξ ὧν αὐτοὶ προσκέκτηνται· σοφίας δὲ καὶ δικαιοσύνης καὶ ἀληθείας καὶ χρησότητος οὐκ ἔλαττον, εἰ καὶ μὴ πλέον, τῆς ἐν τοῖς ὅπλοις ἰσχύος φέρεσι. πῶς γὰρ οὕτως ἂν ξωσηλῶν Ἡρακλέους, ἢ Διὸς τοῦ ὑπὸ τὸν Καύκασον, ὥστ' ἀνήκοος τῆς τούτων φιλανθρωπίας καὶ μεγαλοψυχίας εἶναι; οἵ καὶ τὸ τῆς Σμύρνης ὄνομα οὐ φερεῖδον ἐν μύθου τάξει γεγόμενον, ἀλλ' ἀπορρόλιβα τῆς αὐτῶν τύχης ἀφεῖσαν εἰς αὐτὴν, καὶ παρέχον οὐ τὸ πλῶμα θρηνεῖν, ἀλλὰ συνοικίᾳ ἑορτάζειν. Ἀλέξανδρος μὲν ὕπνος ἄδεται, προοίμιον τῆς κατοικίσεως ἔχων· οἱ δὲ τοσαύτῃ ἄρα τῇ ἐρήμῃ παρέχοντο, ὥστ' ἔφησαν ἡμᾶς αἰσθάνεσθαι, πρὶν ἐλθεῖν τὸν ἐρασθέντα πρὸς αὐτοὺς ἃ πεπόνθαμεν. ὀργάνοις δὲ ἅμα καὶ λαμπάσι ἐχρήσαντο· λόγοις μὲν θαμυνθησόμενοι καὶ δείξαντες ὅτε Ἡσίοδος ἐμαντεύσατο, ὅσον τὸ χρῆμα κ.

μουσικὴν τὴν βασιλικὴν πρὸς ἡμᾶς· χρηγίαν δὲ πᾶσαν παρασκευάζομαι πρός τε τὰ τῶν συμβεβηκότων θεραπείαν, καὶ πρὸς ἑτέρων κόσμων βολήν. καὶ οὐδὲ ταῦτ' ἀπέχρησεν· ἀλλ' ὥσπερ ἐν αὐτῇ τῇ πόλει πολιτευόμενοι, χρημάτων τε πόρους ἀπεδείκνυσαν, καὶ τοῖς φιλοτιμουμένοις ἐπ' ἐλπίδων ἐκάλουν, καὶ χορῶν βοήθειαν ἐκάλουν· καὶ ἐπηγγέλλοντο βουλομένοις, οὐκ ἐθέλοντας δὲ οὐκ ἀνεχώρουν. κἂν αὐτίκα πρὸς τούτοις ἕτερόν τι βουλώμεθα λέγειν, ἐκέλευον, ὡς χαριούμενοι. ὥστ' ἐμοὶ μὲν οὐδὲ σύμπαντα τὰ ἐξ ἀνθρώπων χρήματα ἀπάξια τῆς συνεχείας ταύτης εἶναι δοκεῖ. πεποίηκε γὰρ (εἰ θέμις εἰπεῖν) συνενεγκεῖν τῇ πόλει τὸν σφετερισμόν. πρὶν μὲν γὰρ ἐν τούτῳ γενέσθαι τύχης, οὔπω δῆλον ἦν ὅσον χρήματα, οὐδὲ ὅπως δέοι πρὸς αὐτὰ ἔχειν τοῖς ἄλλοις· νῦν δὲ τὸ τε Θεμιστοκλέους ἔξεστιν εἰπεῖν· εἰ δὴ τοῦτό γε πιστευτέον κατ' ἐκεῖνον, ὡς ὑπὸ ταῖς δωρεαῖς ταῖς παρὰ τοῦ Πέρσου γενομέναις αὐτῷ, φθέγξαιτο ἂν τοιοῦτον πρὸς τοὺς παῖδας, ὅτι νυνὶ ἄρα ἐσώθημεν καὶ οὐκ ἀπολωλέσαμεν. ἀλλ' οὐκ ἐκεῖνος μὲν τῆς παιδὸς λέγεται στερηθεὶς ταῦτα εἰπεῖν· ὑμῖν δὲ ὁμοῦ τῇ κομιδῇ τῆς παιδός, χρήματα, κόσμοι, φιλοτιμίαι, βασιλεῖς οἰκισταί τε καὶ σύμβουλοι· πάντα ὁμοῦ γέγονε τὰ κάλλιστα. ἆρ' οὐ ταῦτα χρή με λέγειν φαίνεσθαι τῆς ἐκείνων ἀπιστίας καὶ τῆς ἀγαθῆς τῆς πόλεως τύχης ἔχειν; τοῖς μὲν, ἐξ ὧν οἰκίζουσί τε καὶ θεραπεύουσι, τῇ δ' ἐξ ὧν οἰκίζεται μηκέτι ἀθάνατον περιζούσης; οἵ γε τοσαύτην ἔσχον εὐβουλίαν, ὥστ' οὐδὲ τοσοῦτ' ἀρκεῖν ἐνόησαν, αὐτεπάγγελτοι πρὸς τὸν οἰκισμὸν ὁρμῆσαι, ἀλλ' αὐτὴ τὸ πρέσβεις παρ' ἡμᾶς ἀναμένειν, αὐτοὶ πρέσβεις πρὸς ἡμᾶς πρὸς τὴν οἴκοι βουλὴν κατέστησαν· ἃ μηδεὶς αὖ ἡμῶν ἐθάρρησεν αἰτῆσαι, ταῦτ' ἀξιοῦντες ψηφίσασθαι. ἆρ' οὐχ ἅπας μὲν θρῖνος τούτοις ἐξαλήλιπται, καὶ μνήμη πᾶσα τῶν τε ἰδίων ἐκάστῳ καὶ τῶν κοινῶν δυσχερῶν; ἀπεῖσηκται δὲ ἀθυμία μετ' ἀφημίας, καὶ τὸ ζῆν ὑπὲρ ἀθυμίαν νυνὶ, εἴπερ ποτὲ, ὑπὲρ τὸ μέλλουσαι ἐλπίσι; καὶ χάριτες πρέπουσαι, τοῖς θεοῖς, τοῖς

βασιλεῦσι, τῷ δεξαμβῷ τὰ τῶν κορυφαίων πολιτεύματα ἀσμένῳ, καὶ μνησθέντι τῆς Σμύρνης ἀπωσθῆναι; ἄξιον εἶναι, ὦ ἄνδρες Ἕλληνες, καὶ τὸ καθ' ὑμᾶς τοὺς ὁμοφύλους ἤδη μέρος μνησθῆναι, ὡς εὖ τοῖς τε ἀκολούθως διεπέφηνται, καὶ τὴν εὔνοιαν ἣν ἔχετε ἐκ παντὸς χρόνου τῇ πόλει, σαφέστατα ἀπεδείξασθε. μάθοι δ' ἄν τις, ὁπόσκεψάμενος τὰ τῆς ἀρχαιοτάτης καὶ πρεσβυτάτης τῶν Ἑλληνίδων πόλεως (λέγω δὲ τὴν Ἀθηναίων) πῶς ἔσχε τῶν πρὸς τοὺς συμφοράς. καὶ ἐγὼ καθαιρεῖν ἐκείνην ἀξιῶν λέγω ταῦτα (μή πω σφόδρα ὅτῳ ἠρυοίμην φιλόπολις) ἀλλ' ἅμα τοῖς τε πολίταις θαρσαλεῖος ἐκβολόμβρος, καὶ τοῖς παροῦσιν ἐνδείξασθαι ὅτι τῇ πόλει διὰ παντὸς καιρῶν οὐ πρέπειν ὑπεχώρησε; καὶ τῆς ἀγαπητῆς ὥρας ὡσπερεὶ κλῆρός ἐστιν. ἐκείνοις τοίνυν στερηθεῖσι μὲν τῶν νεῶν, στερηθεῖσι δὲ τειχῶν, καὶ τῆς ἀρχῆς ὅλης, καὶ προελθοῦσιν εἰς τοῦπισθεν ὥστε τὴν ἀλλήλων φυγάδα αἰσχρὰν καθῆναι τῆς πατρίδος ἠρνέσαντο· τὰ δὲ ἐν μέσῳ τοσαῦτα σιωπήσομαι. ἀλλ' ἔστιν οὓς δὲ πρέπει, πλὴν Φαρσάλου τε καὶ Ἄργους καὶ Θηβῶν; οὐδένες οὔτε μείζονα ὅτε ἐλάττονα ἀπεμνημόνευσαν χάριν τῶν ἐκ παντὸς αἰῶνος ἀνθρώπων, καὶ ὅτι τῷ ἠρύοντο ἔρεισμα ἡ πόλις ἦν δὲ. ὅστοι δὲ οἷς εἶπον, πρός τε φεύγοντας δεξάμενοι καὶ τοῖς ἐξαπίνης αὐτομόλοντες, ταύτῃ δὴ χάριν τὴν πάντα ἐπιφερούσῃ πόλει κατέθεντο, παρ' ἣ πλὴν ἀγαθῶν ἱδρύσθαι τύχῃ αἱ μαντεῖαι λέγουσι. φέρε δὴ, καὶ τὰ τῆς ἡμετέρας πόλεως ὁπόσκεψώμεθα, μή πῃ τῶν ἐραστῶν αὐτῆς αἰσχρὸν θῆναί τῳ πρέπειν· ἢ μέχρι μὲν τούτων τῶν χρόνων οὐ πόλεως παράδειγμα κάλλιστος εἰστήκει, χρυσοῦν μὲν ἀνδρὸς ἐξ ὄψεως τοῖς τε ἀπὸ γῆς καὶ τοῖς ἐκ θαλάττης καταίρουσι, παρελθοῦσι δὲ εἴπω τὰ κάλλιστα ἀποφαίνουσα, καὶ θαρσαλεώτατα, ὧν οὔτ' ὀφθαλμῷ κόρῃ ἔστιν λαβεῖν, οὔτε χρόνου διαπεφευγότος· ἀλλ' ἐν νῷ ἀπέχοντον ἂν εἴη καταλέξειν. ἐπεὶ δὲ καὶ τῆς ἑτέρας ἔδει μερίδος πεῖραν λαβεῖν, ἃ μὲν τοῖς ἄρχουσιν ἐπῆλθε σοφίσασθαι, διῆλθομεν ἀρτίως· ἀλλ' ἐν ὑμῖν τοῖς ὁμοτίμοις τὴν τῶν ἁπάντων

οὐκ ἐχθρὸς; ὁ κῆ πόλεις τε ὁδυρμοὶ καὶ τοῖς κοινοῖς συνεδρίοις, βοώντων τὰ μήκιστα, καὶ πολυμύτων ἐν παρείδος μοίρα τὴν πόλιν; παννυχίδες τε ὀλαλύειν ἀξιούντων, καὶ ῥηπορβύόντων εἰς αὐτὴν, ὡς ἕκαστος εἶχε δυνάμεως; ὥσπερ γὰρ κοινοῦ πλώματος τῆς Ἀσίας γεγυμνωμένου, οὕτω τοὺς γνώμας εἶχετε. ἀλλὰ μὴν τά γε τῆς ὑπὸ τῶν ἔργων αὐτῶν ὑποψίας πῶς πω μέχρι τοῦδε μέμνηται ἐν Ἕλλησι γνώμενα; ἀγορανομήσαντα πάντα χόθεν τοῖς κῆ χώραν μύουσιν ἐκ γῆς καὶ θαλάττης εἰσαφικνούμενα, ἄμιλλα ἦ καὶ σπουδὴ τῶν ἑκατέρωθεν μεγίστων πόλεων, καὶ λοιδοροῦντων τε ὡς αὐτοὺς, καὶ ὀχήματα καὶ πορείας ὑποπεμπόντων· ἔτι δὲ οἰκήσεις καὶ συνεδρίων κοινωνίας, καὶ πάσας ἀφορμὰς ὠθισμυάζόντων, ὥσπερ γονέων ἢ παίδων αὐτῶν, ὠθισμοῦ τε καὶ πληγὰς τῶν μεγίστων ἀπολειπομένων, ὠθυμίας ἢ καὶ ζημίας οὐδὲν ἐλλειπόντων. πῆς γὰρ οὐχ ἕρμαιον ἑαυτῷ ἐποιήσατο; ὃς γὰρ οὐχ ὑπεισκεῖσθαι μᾶλλον ἢ ὑφεῖσθαι τούτῳ χάριν ᾠήθη, δέξασθαι συνοίκους, τοὺς τοσούτους ὠφελήσαντας; χρημάτων τοίνυν σωτηρίαν, καὶ ὠφελὴς τὰ μέλοντα ὑποδοχέσεις ἀφ' ἑκατέρας τῆς ἠπείρου, καὶ πολλὰς ἄλλας φιλανθρωπίας εἰς δύναμιν τῶν ἑκάστων ζημιῶν, πῆς οὐκ ἐπεξέρχεσθαι δικαίως; καὶ οὐ τούτου γε ἕνεκα ἡ πόλις ἠξίωσε πάντα ἐφεξῆς δέχεσθαι, οὐδὲ ὡς οἱ διδόντες ἐβούλοντο, δι' ὡς αὐτὴ καλὸν ἰῶ λαβεῖν. καὶ τί δεῖ ταῦτ' ἐν μέρει καταλέγειν; πάντα γὰρ τὰ ἔθνη τὰ πληροῦσθ' ἡμῶν τῶν Ἀσίαν, φιλοδημίαν κοινὴν φιλοδημεῖται ὠφελὸς τὴν πόλιν, τὰ κράδιστα τῶν ἀρχαίων ἀνισάντα· ὑπὸ μόνης ἦ ταύτης τῆς πόλεως τὸ παλαιὸν ῥῆμα ἐξηλέγχθη ψευδῶς ἔχον, τὸ, κακῶς ὠφελὸς ἑαυτὸν λέγειν ἐῖ) ὠφελεῖν τοὺς φίλους. τοσοῦτον αὐτῆ καὶ παρὰ τῶν συμφορᾶν ὑπεφανείας καὶ χαρίτων δόξης ἐφυλάχθη ὠφελὰ τὸ δαίμονος. νῦν δὲ ὅσα μὲν θρηνώδους ἁρμονίας, καὶ χιτώνων ἀχαρίτων, καὶ ὠφελὰ τῆς λύπης ἔχοντα τὴν ὀφειλίαν, ὑποδὼν ἀπελήλυθε· λευχμονεῖ δὲ ἡ ἤπειρος, παννυχίζει ἦ ἡ Ἑλλὰς ὑπὲρ χρησῆς ὑποθέσεως· ἡ

πόλις δ' ὥσπερ ἐν δράματι καὶ δὴ πάλιν ἐξ ἀρχῆς ἀναφύεται, μεταβαλοῦσα τὴν ἡλικίαν, ἡ αὐτὴ παλαιὰ καὶ νέα γιγνομένη· ὥσπερ τὸν Φοίνικα ἀναβιώσκεσθαι λόγος αὐτὸν ἐξ αὑτοῦ. ἃ γὰρ δή ποτ' ἆρα δόξαι τῷ θεῷ ἕτερον Φοίνικα αὖτ' ἐκείνου τε καὶ μετ' ἐκεῖνον γίγνεσθαι. πάντα δ' ὥσπερ ὁδῷ κεχωρηκέναι φαίνεται. Θησέως μὲν γὰρ ἐξ ἀρχῆς οἰκίσαντος, Ἀλέξανδρος ὕστερον εἰς τοῦτο τὸ χῆμα συνήγαγε· τείτη δὴ χεὶρ τῶν πάντα νικώντων αὐτίκα τῷ αὐτῷ καὶ σωθῆναι. μεταθεῖναι μὲν γὰρ οὐκ ἠξίωσαν, ἔρωτι τῆς κατ' ἀρχούσης, οἱ δ' ὅπη τῶν ἰσχυῶν ἐχείρουσι. ἐπόθει δ' ἄρα καὶ ἡ τῆς πόλεως φύσις οἰκίσας διπλοῦς, δύο τὰς ἀρχηγέτιδας νέμουσα. καὶ δὴ λιμένες τε κομίζονται τὰς τῆς φιλτάτης πόλεως ἀγκάλας, καὶ πάλιν κατακοσμεῖται· καὶ τῷ Μέλητι οὐδὲν ἐμποδὼν τὸ μὴ τοῖς ἀρχαίοις ἔχειν· ἥρως γὰρ πύλαι καὶ θέροις ὑπὸ στεφάνοις αἰωροῦνται· χοροὶ δ' Νυμφῶν καὶ Μουσῶν ἐν αὐτῇ τε καὶ περὶ αὐτὴν χορεύουσι. ζέφυροι δ' οὐ λυπήσουσι πνέοντες. ὦ μακάριοι μὲν τῶν πρεσβυτέρων οἱ πρὸς ταύτην ἀφιξόμενοι τὴν ἡμέραν, ἐν ᾗ τὴν Σμύρναν ὄψονται τὸν ἑαυτῆς ἔχουσαν κόσμον· παῖδες δ' οὐδὲν ζημιωσόμενοι, ἀλλ' ὀψόμενοι τὴν πατρίδα οἵαν οἱ γονεῖς ᾤκουν· οἱ δ' ἐν ἡλικίᾳ, τὰ μέν, συμπεραίξαντές τε καὶ συμπνήσαντες, τὰ δ', σωθύσοντες· καὶ συνεορτάσοντες ἑαυτοῖς τε καὶ τοῖς ἀφικνουμένοις. ὡς τῶν παρόντων ἀγαθῶν ἔτι καλλίους αἱ τῶν μελλόντων ἐλπίδες. ἅμα Ζεῦ πολιεῦ τε καὶ θεαὶ κληροῦχοι τῆσδε τῆς πόλεως, καὶ Πόσειδον, ὃς ἀμφότερα εἴληχας κινεῖν τε καὶ σάζειν, καὶ θεοὶ βασίλειοί τε καὶ Ἑλλώτιοι, γενέσθαι πᾶσι ἡμῖν τὸν οἰκισμὸν δευτέρων ἀμείνονα βεβαιότερον ἔσεσθαι μοι, ὅπῃ πολλῇ μὲν ἀφροσύνῃ καὶ δόξῃ τῶν οἰκιστῶν, χρησοῖς ἢ τοῖς ἀπαντησομένοις τῇ πόλει διὰ παντὸς ἐμέλοντο χρόνῳ. εἴη δή τι καὶ τοῦμὸν ἐν Ἕλλησι νῦν τε καὶ ὕστερον.

ΠΡΟΣΦΩΝΗΤΙΚΟΣ ΣΜΥΡΝΑΙΚΟΣ.

ΕΒΟΥΛΟΜΗΝ αἰῶ θαυμάσιε μάλιστα μὴν τὴν πόλιν οἵαν κατέλιπες τοιαύτην φανῆναι· εἰ δὲ μή, παρὼν αὐτὸς ποιεῖσθαι τοὺς λόγους· ἵν' ἀμφοτέρως ἐκέρδαινον, σοί τε σωθὲν, καὶ σὺ νῦν αἴτιος ἡμῖν πόλεως ἀπολαύων τὰ γιγνόμενα. ἐπεὶ δ' οὕτω συμβέβηκεν, οὐ τῶ γε παντὸς εἴργεσθαι καλῶς ἔχειν ὑπέλαβον, ἀλλ' ἴσως γέ πῃ φωνῆς ἡμετέρας σοί τε ἠρέσκουσα, καὶ τοῖς παροῦσι τῶν Ἑλλήνων, ὅσοι τε πολῖται καὶ ὅσοι ξένοι. ὅλως γὰρ ἔμοιγε δοκεῖν εἰς ἔθος καθέστηκεν ἀπόνως παινεῖζειν, ἐπειδή γε ὁ θεὸς τοῦτο ἄγαθὸν ἦν νυὶ λόγος καὶ πάνυ μοι κατὰ καιρὸν δοκεῖν. ἐπεὶ γὰρ καὶ τῆς ἀελπίστου φήμης ἀφικομένης, περὶ τῆς πόλεως ἐμνήσθην πρὸς τοὺς πάντα ἀρίστους βασιλέας, διατείνας ὑπλέον μιᾶς νυκτὸς, εἰκὸς ἦν καὶ πρὸ τῆν εἰς ἀφημίαν ἥκοντων οὕτως ἔχειν ὡς ἐμαυτῷ προσηκόντων. τὰ μὲν οὖν παλαιὰ μέμνησαι, καὶ τὴν πρότην ἀκούσας ἀρχὴν ἰὼν τῷ πατρὶ συνῆρχες, Διὸς ἵνα ἡγεσῖν, καὶ χρείας Κουρήτων, καὶ Ταντάλου καὶ Πέλοπος οἰκισμὸν τῆς πρώτης πόλεως ἐν τῷ Σιπύλῳ ἡγουμένης· καὶ διαβάσεις Πέλοπος ἐνθένδε εἰς τὴν πρότερον μὲν Ἀσίαν, Πελοπόννησον δὲ ἀπ' ἐκείνου κληθεῖσαν· ἀφ' οὗ πεῖπος ἔγγονος βασιλεὺς κοινὸς τῆς Ἑλλάδος ἡγούμενος κατέλυσε τὴν τῶν βαρβάρων ἀρχήν. δεύτερον δ' ἀφημιῶν Θησεύς τε ἀρχηγέτης, καὶ Σμύρνα ὄνομα τῇ πόλει ταύτῃ, καὶ ἡγεμὼν Ἀσίκων καὶ Ἰώνων ὕστερον εἰς οἰκείαν εἴσοδος. καὶ πεῖτη δὴ θέσις καὶ κατοίκησις διὰ τὸν Ἀλέξανδρον· οὗ δύο ταῦτα κάλλιστα καὶ μέγιστα μνημεῖα, ἥδέ τε ἡ πόλις καὶ ἡ τῶ Νείλου προσοικος. τοιαῦτα ἤκουσας καὶ πεῖρης πῆς ἰὼν δεικνυμένη μὲν Διονυσίοις, ὑμνουμένη δ' ἐν τοῖς κατάπλοις, σύμβολον νίκης παλαιᾶς, ἰὼν ἐνίκων Σμυρναῖοι βακχεύοντες Χίους ὅπλοις καὶ ναυσὶ πεφραγμένους. ἄγε μὴν ὀφθαλμὸς ἐξηκεῖτο, καὶ ὁ μῦθος ἔπι δὲ λόγοι λογοποιῶν τε καὶ ποιητῶν, ἀλλὰ καὶ αὐτὸς Ὅμηρος

παρὼν ἀσφαλέστερον αὖ ἡγήσατο σιωπᾷν, ἢ λέγειν περὶ αὐτῶν. εὐφρας ἀγορᾶν τε θεῶν, ἑστίαν καὶ λιμφρας· τῇ μὲ, κυκλουμφους τὴν πόλιν, τῇ ὃ, ὑπὸ τῆς πόλεως μέσους ἐχομένους· καὶ ναῶν κάλλη, καὶ περιβόλους, ἐξίσου τῇ τε φύσει καὶ τέχνῃ κεκοσμημφα· καὶ πάντα δὴ τὸν κόσμον τῶν ὅρμφων, ὡς ἐξήρτηντο ἀλλήλων· καὶ τὸ δὴ μέγιστον σύμβολον τῆς πόλεως, τὴν διὰ πάντων ὁμολογίαν καὶ μουσικὴν, ἔν τε τὸ πᾶν σῶμα ἀποφαίνουσαν· ὥσπερ αὖ εἰς τὸν μῦθον τὸν περὶ τὸ Θηβαίων τεῖχος λεγόμφον, περὶς λύραν καὶ κιθάραν ἥρμοσο ἐξ ἀρχῆς. εἶεν. τὰ μὲν δὴ παλαιά τε, καὶ οὐ παλαιὰ ἀλλὰ χθές τε καὶ πρῴην ὡς εἰπεῖν ἔτι φαινόμενα, τοιαῦτα μὲν ἤκουσας, τοιαῦτα δ' ἐθεάσω. ἀκίνητον δὲ οὐδὲν, φασὶ, τῶν ἐν ἀνθρώποις· ἀλλὰ καὶ γῆ θαλάτταν δέχεται, καὶ θάλατται ἠπείρους· καὶ πόλεις, αἱ μὲν ὑπὸ γῆς ἔδυσαν, αἱ δὲ ὑπὸ ῥευμάτων οὐρανίων τε καὶ παντοίων ἠφανίσθησαν. ἴδιον γὰρ τοῦ θνητοῦ γένους αἱ μεταβολαὶ, καὶ πολλὰ τὰ θαύματα τοῦ χρόνου. καὶ δὴ καὶ τὴν ἡμετέραν πόλιν τοσοῦτον νικῶσιν σωθεῖσαν ὅσον ὀλίγα ὀλισθεῖν. οὐ δὴ καθαρῶς ἐξεφάνη ὅσος ἦν παρ' αὐτῆς τῆς Ἀσίας κόσμος ἦν. λέγω δὲ οὐχὶ τὸν μέχρι Μαιάνδρου ποταμοῦ, οὐδ' ὅσον ὁ τῶν ἡγεμόνων ὑμῶν κλῆρος οἰκίζεται, ἀλλ' ὃν ἐξ ἀρχῆς Ἕλληνες ἐποιήσαντο Ἀσίαν· ἐποικτόρθιον δὲ καὶ ἤπειρον διαφερόντως αὐτὴν τῶν πέλας. ἀλλ' ὅμως ἐβουλόμην εἰπεῖν· ἅμα γὰρ τῷ πλήθει συμβαίνει πάντα ἐδόκει γυμνοῦσθαι, καὶ πᾶς ἦν ὥσπερ ὀφθαλμὸς ἐζήτει σώματος. λέγω δὴ, τὸ μὲν ἐποικροῦσαι, καὶ τὴν κοινὴν ἁπάντων ἀνθρώπων τύχην καὶ φύσιν τῇ πόλει συμβῆναι· τὰ δ' ἐφεξῆς, τὰ ἀγαθὰ ἤδη καὶ τὴν πόλιν ἐξ ἀρχῆς λαχούσης εἶναι. ὅτε γὰρ ἦν καιρὸς, ἐπὶ χεῖρα ὥρμησε, τοιοῦτος ἔχων τοὺς τῶν ὅλων ἐποστάτας, οἳ πάντων μὲν ἦκιστα ἔμελλον ἐπιλήψεσθαι κειμήλιον, πάντων δὲ μάλιστα ἐπιθυμήσεσθαι οὐκ αἰσθησομένου μόνον, ἀλλὰ καὶ ἐπιβολὴν ἄρα. τὰ δὴ νῦν πάντα τελεῖται, φησὶν ὁ παῖς τοῦ Μέλητος. καὶ μὴν τὴν μὲν γε ἀγχίνοιαν τοῦ δήμου (μὴ γὰρ πάνθ' ἡμῖν ἔστω τῶν οἰκοδομημάτων) τίς

οὐκ αὖ ἠγάθη τε καὶ ἐθαύμασεν; οὔτε γὰρ ἐξεπλάγη πρὸς τὴν συμφορὰν, οὔθ' ἁμωθίαν τε οὐκ ἐζήτησεν, οὐδ' αὖ ἐμείνε καλλίω τῆς πρὸ τῶν βασιλέων ἅμα ἔργῳ καὶ λόγῳ γιγνομένης. ὥστε ὁ τῶ πένθους αὐτῷ καιρὸς ἑορτὴ τις ἐγεγόνει. ἐμοὶ μὲν τά γ' ὅπη τούτοις ἡμεῖς μὲν ἀκοῇ γιγνώσκομεν· σὺ δ' ὁρῶν, κἂν ἑτέροις αὐτὸς ἐξηγοῖο. ἔοικε γὰρ οὐ πόρρω πεσεῖν ἡ μυθολογήματος ἡ πόλις ἐς τὸν ἀρχηγέτην αὐτῆς λεχθέντος. οἶδ' ὅτι φασὶν οἱ ποιηταὶ τὸ Πέλοπα κατὰ μέλη τμηθέντα, ἑψηθέντα ἐν λέβητι, σωτηθῆναι πάλιν ἐξ ἀρχῆς ἐκ τοῦ λέβητος, ἐλλείποντος δὲ τοῦ ὤμου, χεῖν ἐλεφάντινον αὐτὶ τοῦ παλαιοῦ· καὶ φασὶ τὸ ἔργον, Δήμητρος γενέσθαι. ὡς ἦ τῇ πόλει, μετ' ἐκεῖνον τὸν λέβητα, ὃς αὐτῇ πάντα ἐπέφλεξεν, ἡ δευτέρα σύστασις εἰς θαυμασίην τινὰ ἐλήλυθε κάλλους περιουσίαν· ὥσπερ τοῦ Ποσειδῶνος ἐξεπίτηδες τὴν περαίνην κινήσαντος αὐτῇ, ἵν' ἴδοι καλλίονα ἢ πρότερον. οἷόν τι δὲ καὶ Θετταλίαν λέγεται φιλανθρωπεύσασθαι, ἣ διαφάγα ποιήσασα τῶν Τεμπῶν ἕνεκα τοῦ Πηνειοῦ. καὶ γάρτοι πότερον μὲν οὐκ εἰς ὀπίνοιαν ὑποβολῆς ἐλθεῖν ἐῶ, ἀλλ' ἐδόκει πρόδειγμα κάλλους ἡ πόλις εἶναι· νυνὶ δ' ἐξηλέγχθημεν ἄρα οὐκ ὀρθῶς δοξάζοντες. τότε μὲν γὰρ τὰς ἄλλας πόλεις, νυνὶ δ' αὐτὴ κρεῖττον, ὡς εἰπεῖν, ἑαυτῆς νενίκηκε. καί μοι δοκεῖ πρέπον εἶναι τῇ μητροπόλει παθεῖν. μνησθήσομαι δ' εἰκόνος μυθώδους, ἀλλ' ἀναγκαίας πιστεῦσαι. ἐκείνη τε γὰρ ἐμπρησθεῖσα ὑπὸ τοῦ Γέρσου, καὶ πάντα ξύλον διαφθαρεῖσα, ἐπέδωκεν ἅπαντα χῆ· τῇ τε πόλει κέρδος τὸ σύμπαν, ὑπὸ ταύτης χρὸς ἐγείρεται πάντη σεμνοτέρα καὶ ὑψηλοτέρα καὶ στεγανωτέρα· καλῶμεν δ' Ἀδριάσταν. καλῶν δ' ὄντων ἁπάντων τῶν ὁρωμένων τούτων κόσμων, ἕτερον μεῖζον προσείληφεν. οἰκισταὶ γὰρ αὐτῆς οἱ πάσας τὰς πόλεις ὑφ' ἑαυτοὺς ἔχοντες, οἷς οὔτε φιλανθρωπία οὔτε ἔργον ἀποδείξεσιν οὐδεὶς πω νενίκηκεν. ὧν δ' οἶμαι καὶ μόνων ἦν κρεῖττόν τι τῆς τότε Σμύρνης ἐξευρεῖν. τοιαύτη δὲ ἡμῖν τῆς τύχης ἡ περὶ τὴν πόλιν γέγονε παλινῳδία. καὶ δὴ τῇ τε Ἰωνίᾳ

καλῶς ὁ στέφανος σέσωσται, ἥ τε Ἀσία τὸ πρόσχημα κεκόμισται. Τεράστιον δὲ τῶν ἀνελπίστων τὰ τῆς πόλεως γέγονε πράγματα, ὡς οὔτ' ἐξ οὐρίων θέουσιν οὐδὲν ἀπώμοτον, οὔτε λυθείσης τῆς νεὼς, ἀνέλπιστον τὸ μὴ οὐ κρεῖττόν τι συμβήσεσθαι. Μέλητα δὲ κοσμεῖν ἑτέροις τανῦν παρίημι· καίτοι μέγιστός γε αὐτὸς ἑαυτῷ κόσμος δοκεῖν ὁρώμενος, ᾧ γε καὶ θέρος καὶ χειμῶν τὸν αὐτὸν ἔχει λόγον· καὶ οὔτε ἐξ ὄμβρων ποτὲ ὕδεισεν, οὔτε αὐχμοῖς εἶξεν· ἀλλ' ὡσπερ ἄλλο τι τῶν ἀκινήτων, ἓν μὲν χῆμα καὶ μίαν δὲ χρόαν τὸν αἰεὶ σώζει χρόνον. καὶ μὲν οὐδὲ πλανᾶται γε ὁ Μέλης, οὔθ' οἷος ἀποφοιτᾶν· δοκεῖ δ' ἔοικεν ἑαυτῷ τινι τῆς πόλεως, οὐ τολμῶντι μακρότερον ἀπολιπεῖν, ἅτε, οἶμαι, ἄσβεστον μὲν αὐτῆς τὸν ἔρωτα, ἄσβεστον δὲ τὴν φυλακὴν ἔχων. ὥστε αὐτόθεν ὁρμηθεὶς, αὐτοῦ καὶ παύεται, πατεινὰς κώλῳ τινὶ τῆς πόλεως ἑαυτόν. Ταὐτὶ μὲν οὖν, ὥσπερ οἱ νυμφόληπτοι, δοκῶ μοι τινὶ τῶν νυμφῶν αὐτῶν ἔοικα προσμελῳδῆσαι περὶ τὸν Μέλητα, οὐ κ οὕτω προθύμως. ἔδει δὲ ἴσως καὶ τοῖς πᾶσιν ὥσπερ ἄλλῳ τινὰ μοῖραν τοῦ λόγου σωθῆναι. Εὐθεῖα δ' ἂν εἴη καὶ τοῦτ' εἰς ἀγαθὸν σύμβολον, σέ τε ἡμῖν ὅπη τὰς πόλεις ἥκειν, καὶ τὸ πρόσθεν οὕτω συμβαίνειν, ὥστε σε τὴν παρῳχηκυῖαν ἀρχὴν ἀκριβῶς ἀνανεώσασθαι τῆς περὶ τὴν Σμύρναν διατριβῆς. τῆς γὰρ πόλεως ὁ καιρὸς πολὺ νικᾷ τὰ δὲ τῆς ἀγαθῆς τύχης πανταχοῦ.

ΘΕΜΙΣΤΙΟΥ ΦΙΛΟΣΟΦΟΥ,

ΤΟΥ ΚΑΙ ΕΥΦΡΑΔΟΥΣ

ὑπατεύοντος,

ΛΟΓΟΣ ΠΡΟΣ ΤΟΝ ΑΞΙΩ-

σαντα λέγειν ἐκ τῦ ῥητορικῦ.

Ἀλλ' εἰ καὶ σφόδρα ἴσως σοφὸς ὁ Φειδίας ἐν χρυσῷ καὶ ἐλέφαντι μορφῶσαι δεῖξασθαι θεὰν ἢ ἀνθρώπινον, ὅμως χρόνου μὲ ἐδεῖτο καὶ σχολῆς πλείονος εἰς τὰ ἔργα. λέγεται οὖν, ἡνίκα ἐδημούργει τὴν Ἀθηνᾶν, οὐδὲ εἰς τὴν κρηπῖδα τῦ θεοῦ μόνην ὀλίγου χρόνου ἀρκέσειν αὐτῷ. εἰ οὖν τις αὐτὸν αὐθημερὸν ἐκέλευσεν ὑπόδειξασθαι τὴν τέχνην, τί ἂν ἔδρασεν; ἢ πῶς ἐπείθη τῷ ὑπάγματι ἄν; σκόπει δῆτα εἰ καλῶς ἂν πρὸς τὸν ἔρωτα ἀπεκρίνατο ὅτι, ὦ χρηστὲ καὶ τῶν ἐμῶν ἔργων φιλοθεάμον, εἰ μὴ συγχωρεῖς μηδὲ ἐπιβλέπεις καιρὸν ὥστε καινόν τι καὶ νέον δημιουργῆσαι, σὺ μὲν ὑπόσκεψαι τὴν Ἀθηνᾶν τὴν ἐν τῇ πόλει, ἢ τὸν Δία τὸν Ὀλυμπάσι, καί σοι ταῦτα ἀποχρήσει πρὸς τὸ Φειδίαν θαυμάσαι· κἀγώ γε, ὦ μακάριοι, τὸν ἐμὸν ἔρωτα, ἐπειδή μοι καὶ αὐτὸς οὕτως ἔχειν δοκεῖ ὡς καὶ τὴν μέρον τι μοῦ πρὸς εἶν δημιούργημα, πρόχειρα καλέσαμι' ἂν πρὸς ἰδεῖν τι τῶν εἰργασμένων. οὐδὲν γὰρ δεήσει, οἶμαι, βαδίζειν εἰς τὸ τῦ ἔργου· φέρω γὰρ ἐν ἐμαυτῷ τὰ τῆς ἐμῆς τέχνης ἀγάλματα, ἃ δημιουργεῖται μὲν καθ' ἕνα τόπον, συμπορεύεται δὲ ἅπαντα χρόνῳ τῷ τεχνίτῃ. τοσόνδε μόνον μοι χάρισαι, ἔασόν με κατὰ χρόνον ἐργάσασθαι τὴν εἰκόνα. οὐ γὰρ οὕτως εἰμὶ σοφὸς οὐδὲ δύπορος ὥστε αὐτοσχεδιάζειν ὡς τῷ ἔτυχε τὰς χαφάς, καθάπερ οἱ δαιμόνιοι σοφισταί· ἀλλ' οὐδὲ ἅπαντα χαράττειν ἄρχοντα δύναμαι, ἀλλ' ὃς ἂν μοι τόνδε τὸν πίνακα ὑπερπέσῃ, ὃς

